χώρας καὶ πόλεως οἰκήτορα λαὸν ἔχοντες,
ἤλθετ' ἐρησόμενοι Φοῖβον τίνα γαῖαν ἵκησθε.
ἀλλ' ἄγε δὴ φράζεσθ' ἀγαθῶν πότερόν κεν ἕλοισθε
πλοῦτον ἔχειν κτεάνων ἢ τερπνοτάτην ὑγίειαν

[schol. Aristoph. equ. 1091] diu dubitavi. Apparet satis scienter eos compositos esse: et quamquam facillimum est χώρης scribere pro χώρας, et hoc quoque licet πόλεως mutare in πόλιος, cum syllaba terminans brevis — ος sequente Ϝοικ — saepissime producatur, repugnare tamen videtur attica alterius versus forma ἐρησόμενοι pro εἰρησόμενοι. Sed cum etiam apud Homerum exstet verbum ἔρεσθαι, ex quo derivatae formae ἐρώμεθα, ἔροιτο, ἐρέσθαι inveniantur, ad eam sententiam perveni ut in hoc versu ἐρησόμενοι re vera dictum ab eo, qui oraculum composuit, in primo vero χώρης et πόλιος restituendum mihi videatur.

Nonnulla tamen exstant oracula, in quibus attica dialectus videtur servanda: quae cum posteris temporibus, ni fallor, conscripta sint, atticam dialectum mixtam cum epica miram non puto nec causam video cur mutemus. Carystum oppidum fuisse in insula Euboea situm satis inter omnes constat: quod oppidum Carystus, filius Chironis, condidisse dicitur hoc accepto oraculo:

Χείρωνος φίλε τέκνον ἀγακλειτοῖο, Κάρυστε,
Πήλιον ἐκπρολιπὼν Εὐβοίας ἄκρον ἱκέσθαι·
ἔνθ' ἱερὰν χώραν κτίζειν σοι θέσφατόν ἐστιν.
ἀλλ' ἴθι, μηκέτι μέλλε.

Tota haec fabula de Carysto, conditore urbis Carysti, recentissima videtur: memoriae enim prodiderunt Eusebius [in praep. evang. VI 7] et Constantinus Cephalas in anthologia Palatina, [II 565.] et omnino Carystus, ut nomen hominis, nusquam alibi invenitur. Quae cum ita sint, ego sane non affirmaverim, illum qui hoc oraculum finxit, sive ipse fuit Oenomaus sive alius, epica dialecto pura usum esse, praesertim cum tres insint formae quae ab ea recedant. Nec repugnare primi versus vocabulum *ἀγακλειτοῖο* facile quivis concedet. Idem, ni fallor, iudicandum est de oraculo, quod Pythia in bello a Romanis cum Philippo, rege Macedonum, gesto edidisse fertur, quod exhibet Plutarchus in libro de Pythiae oraculis cap. XI:

ἀλλ' ὁπόταν Τρώων γενεὰ καθύπερθε γένηται
Φοινίκων ἐν ἀγῶνι, τότ' ἔσσεται ἔργα ἄπιστα·
πόντος μὲν λάμψει πῦρ ἄσπετον, ἐκ δὲ κεραυνῶν
πρηστῆρες μὲν ἄνω διὰ κύματος ἀίξουσιν
ἄμμιγα σὺν πέτρᾳ, ἡ δὲ στηρίξεται αὐτοῦ,
οὐ φατὸς ἀνθρώποις νῆσος· καὶ χείρονες ἄνδρες
χερσὶ βιησάμενοι τὸν κρείσσονα νικήσουσιν.

Γενεάν et *πέτρᾳ* attice dicta sunt, *ἔσσεται* et *βιησάμενοι* epice. Per se igitur res dubia est: tamen mihi quidem et *ἔσσεται* et *βιησάμενοι* pro *βιᾰσάμενοι* metri modo gratia ab auctore in textum videntur recepta esse. Quamquam certi quidquam de hac re non affirmaverim.

De versibus:

πῖν' οἶνον τρυγίαν, ἐπεὶ οὐκ Ἀνθηδόνα ναίεις
οὐδ' ἱερὰν Ὑπέραν, ὅθι κ' ἄτρυγον οἶνον ἔπινες

cf. Plut. quaest. gr. c. XIX p. 295 D. Ath. I p. 31 B. Müller fragm. histor. gr. II p. 136. Habeamus duas certe, fortasse tres fabulas cum versibus illis coniunctas. Ego oraculum id fuisse (quae est opinio Muelleri) non puto: propter generalem quae inest sententiam „bibe vinum faecatum", cum sine faece vinum non adsit“ proverbium potius versus nostros fuisse crediderim, ad quos postea alius aliam fabulam adfingeret. Con-

gruit cum hac sententia etiam attica dialectus [τρογίαν, ἱερὰν Υπέραν].

Duo restant oracula, quae quo tempore orta sint ignoro, in quibus nihilo secius atticae formae non videntur delendae. Prius hoc est. [Athen. VI p. 232 f.], quod Alcmaeon accepisse dicitur, cum a Pythia quaesivisset quem ad modum morbo suo liberaretur:

τιμῆέν μ' αἰτεῖς δῶρον μανίαν ἀποπαῦσαι.
καί συ φέρειν τιμῆεν ἐμοὶ γέρας ᾧ ποτε μήτηρ
Ἀμφιάραον ἔκρυψ' ὑπὸ γῆν αὐτοῖσι σὺν ἵπποις,

alterum quod Plutarchus in Solonis vita c. IX tradidit:

ἀρχηγοὺς χώρας θυσίαις ἥρωας ἐνοίκους
ἵλασο, τοὺς κόλποις Ἀσωπιὰς ἀμφικαλύπτει,
οἳ φθίμενοι δέρκονται ἐς ἠέλιον δύνοντα.

Utrumque ni fallor in ipsa Attica confectum est ideoque nescio an atticae dialecti formae servandae sint. Nam Atticos in componendis oraculis non puram epicam dialectum adhibuisse, intellegis ex Aristoph. equ. 1062. Cum vero utrumque ad Atticam historiam spectet, dubium vix videtur quin apud ipsos Atticos ortum sit: eaque de causa formas illas non puto delendas.

Oraculorum fragmenta.

1.

Φράζεο δή μοι μῦθον, Ἀγήνορος ἔκγονε, Κάδμε.
ἠοῦς ἐγρόμενος προλιπὼν ἴθι Πυθὼ δῖαν,
ἠθάδ' ἔχων ἐσθῆτα καὶ αἰγανέην μετὰ χερσί,
τὴν διά τε Φλεγύων καὶ Φωκίδος, ἔστ' ἂν ἵκηαι
βουκόλον ἠδὲ βόας κηριτρεφέος Πελάγοντος.
ἐνθάδε προσπελάσας ξυλλάμβανε βοῦν ἐρίμυκον
τὴν ἥ κεν νώτοισιν ἐπ' ἀμφοτέροισιν ἔχῃσι
λευκὸν σῆμ' ἑκάτερθε περίτροχον ἠΰτε μήνης·
τήνδε σὺ ἡγεμόνα σχὲ περιτρίπτοιο κελεύθου.
σῆμα δέ τοι ἐρέω μάλ' ἀριφραδὲς οὐδέ σε λήσει·
ἔνθα κέ τοι πρώτιστα βοὸς κέρας ἀγραύλοιο

---

1) Schol. Eur. Phoen. 638: *Κάδμος ζητῶν τὴν ἰδίαν ἀδελφὴν Εὐρώπην μαντεῖον ἔλαβε περὶ τῆς ἀδελφῆς, οὐδὲν ἄλλο σημαῖνον ἀλλ' ὥστε αὐτὸν ἐξελθόντα ἕπεσθαι βοΐ καὶ οὗ δ' ἂν αὐτόματος πέσῃ κτίζειν πόλιν. ἔχει δὲ ὁ χρησμὸς τοῦ Πυθίου θεοῦ οὕτως· Φράζεο κτλ.*

„Ex scholiis in Euripidem tum nondum editis scholiis in Aristoph. Ranas 1496 apud Aldum editis inseruit Musurus". [Dindorfius ad schol. Euripid.]

adde Tzetz. ad Il. p. XVI 6—23. [ed. G. Hermann]. Tzetz. chil. X 454. XII 124. [1—3.]

cf. Paus. IX 12, 1. Apollod. III 4, 1. Müll. hist. fr. III p. 157. v. 1: *τὸν μῦθον* Tzetz. ‖ 3: *ἠθάδ'* Mus. *ἔνθα δ'* codd. ‖ cetera quae apud Tzetzem exstant menda opus non videtur afferre ‖ 9: fortasse *σύ γ'* scribendum ‖ 2: *ἐγρόμενος* Od. X 50 ‖ 5: *κηριτρεφέων ἀνθρώπων* Hes. op. 418 ‖ 8: totus versus Il. XXIII 455 ‖ 10: totus versus Od. XI 126 ‖ 11: *κέρας βοὸς ἀγραύλοιο* Il. XXIII 780 ‖ 12: *ποιήεις* Il. XX 9 saep. ‖

ἵζησιν κλίνῃ τε πέδῳ γόνυ ποιήεντι,
καὶ τότε τὴν μὲν ἔπειτα μελαμφύλλῳ χθονὶ ῥέζειν
ἁγνῶς καὶ καθαρῶς, γαίῃ δ' ὅταν ἱερὰ ῥέξῃς
ὄχθῳ ἐπ' ἀκροτάτῳ κτίζειν πόλιν εὐρυάγυιαν,
δεινὸν Ἐνυαλίου πέμψας φύλακ' Ἄιδος εἴσω.
καὶ σύ γ' ἐπ' ἀνθρώπους ὀνομάκλυτος ἔσσεαι αὖθις
ἀθανάτων λεχέων ἀντήσας, ὄλβιε Κάδμε.

2.

a) Λάιε Λαβδακίδη, παίδων γένος ὄλβιον αἰτεῖς·
δώσω τοι φίλον υἱόν· ἀτὰρ πεπρωμένον ἐστὶ
παιδὸς ἑοῦ χείρεσσι λιπεῖν φάος· ὣς γὰρ ἔνευσε
Ζεὺς Κρονίδης Πέλοπος στυγεραῖς ἀραῖσι πιθήσας,
οὗ φίλον ἥρπασας υἱόν· ὁ δ' εὔξατο σοὶ τάδε πάντα.

b) Λάιε Λαβδακίδη ἀνδρῶν περιώνυμε πάντων.

3.

Κουράων δὲ γάμους ζεῦξον κάπρῳ ἠδὲ λέοντι
οὓς κεν ἴδῃς προθύροισι τεοῦ δόμου ἐξ ἱεροῖο
ἀμοῦ στείχοντας μηδὲ φρεσὶ σῇσι πλανηθῇς.

14: ἁγνῶς καὶ καθαρῶς hymn. Ap. Del. 121 || 15: πόλις εὐρυάγυια form. ep. || 16: Ἄιδος εἴσω Il. VI 284 saep. ||

2. a) χρησμὸς δοθεὶς Λαΐῳ: bis schol. Eur. Phoen. arg. accedit schol. Soph. Oed. R. cod. Laur. Praeterea vv. 1—3 exstant in anth. Pal. XIV 67.

b) Schol. Pind. Ol. II 70: ἐν δὲ τοῖς Παιᾶσιν εἴρηται περὶ τοῦ χρησμοῦ τοῦ ἐκπεσόντος Λαΐῳ, ἔνθα καὶ Μνασέας ἐν τῷ περὶ χρησμῶν γράφει· Λάιε κτλ.

2: τέξεις μὲν φίλον.. schol. Eur. semel || τόδε σοὶ μόρος ἔσται schol. Eur. Phoen. || 3: σοῦ παιδὸς schol. Soph. || σοῦ παιδὸς χερσὶν λείψειν φάος· ὣς γὰρ ἔνευσα anth. Pal.

3) Schol. Eur. Phoen. 410: ὁ χρησμὸς Ἀδράστῳ οὕτως ὑπὸ Μνασέου ἀναγέγραπται· Κουράων κτλ. cf. Müll. hist. fr. III p. 157. Apollod. III 6, 1.

4.

Τιμῆέν μ' αἰτεῖς δῶρον μανίαν ἀποπαῦσαι.
καὶ σὺ φέρειν τιμῆεν ἐμοὶ γέρας ᾧ ποτε μήτηρ
Ἀμφιάραον ἔκρυψ' ὑπὸ γῆν αὐτοῖσι σὺν ἵπποις.

5.

Νόστον δίζηαι πατρίην ἐς γαῖαν ἱκέσθαι
Ἀμφιαρηϊάδη.

6.

Θηβαῖοι Κάδμοιο πόλιν καταναιετάοντες
αἴκ' ἐθέλητε πάτραν οἰκεῖν σὺν ἀμύμονι πλούτῳ,
Ἕκτορος ὀστέα Πριαμίδου κομίσαντες ἐς οἴκους
ἐξ Ἀσίης Διὸς ἐννεσίῃς ἥρωα σέβεσθαι.

7.

Ἀλλ' ὁπόταν Τιθορεὺς Ἀμφίονί τε Ζήθῳ τε
χύτλα καὶ εὐχωλὰς μειλίγματ' ἐνὶ χθονὶ χεύῃ,
θεινομένου ταυροῖο κλυτοῦ μένει ἠελίοιο·

---

4) Athen. VI p. 232 f: [ὁ ἐν Δελφοῖς θεὸς] ἔχρησεν Ἀλκμαίωνι πυνθανομένῳ πῶς ἂν τῆς μανίας ἀπαλλαγείη· Τιμῆεν.. cf. Eustath. p. 1697, 43.

1: de voce *μανίαν* cf. p. 23. ‖ *τιμῆεν δῶρον* Od. I 312 saepiusque. ‖ 3: *αὐτοῖσι τεθρίπποις* coni. Meineke anal. critic. ad Athen. p. 100. ‖

Alterum oraculum quod eidem Alcmaeoni datum esse fertur prosa oratione scriptum tradidit Thucydides II 102, 4. tertium exstat apud Paus. VIII 24, 8.

5) Eus. pr. ev. VI 7, 13. in 2: *Ἀμφὶ Ἀρκαδίῃ* codd; *Ἀμφιαραιάδη* Valckenaer, *Ἀμφιαρηϊάδη* Gaisfordius: cf. R. Volkmannum in Fleckeisenii annalibus 79 p. 704.

6) Paus. IX 18, 5: *ἔστι δὲ καὶ Ἕκτορος Θηβαίοις τάφος.... κομίσαι δὲ αὐτοῦ τὰ ὀστᾶ ἐξ Ἰλίου φασὶν ἐπὶ τοιῷδε μαντεύματι· Θηβαῖοι κτλ.*

7) Paus. IX 17, 5: *ἔστι τάδε ἐν τοῖς τοῦ Βάκιδος χρησμοῖς· Ἀλλ' κτλ.*

in v. 2: *μειλίγματ' ἐνί* unus cod; ceteri aut *μειλίγματά*

καὶ τότε δὴ πεφύλαξο πόλει κακὸν οὐκ ἀλαπαδνὸν
ἐρχόμενον· καρποὶ γὰρ ἀποφθινύθουσιν ἐν αὐτῇ
γαίης δασσαμένων, Φώκου δ' ἐπὶ σῆμα φερόντων.

8.

Στείχετε μαιόμενοι Σικελῶν Σατόρνιον αἶαν
ἠδ' Ἀβοριγινέων Κοτύλην οὗ νᾶσος ὀχεῖται·
οἷς ἀναμιχθέντες δεκάτην ἐκπέμψατε Φοίβῳ
καὶ κεφαλὰς Ἅιδῃ καὶ τῷ πατρὶ πέμπετε φῶτα.

9.

Ἄρνη χηρεύουσα μένει Βοιώτιον ἄνδρα.

10.

. . . κωφοῦ τ' ἀκοὴν τυφλοῖό τε δέρξιν.

τ' ἐν aut μειλίγματα ἐν. 3: θελγομένου codd. correxit Kayserus. ‖ 4: σθένος οὐκ ἀλαπαδνόν Il. V 783 saep.

8) Macrob. Sat. I 7, 28: ... Pelasgi, sicut Varro memorat, cum sedibus suis pulsi diversas terras petissent confluxerunt plerique Dodonam et incerti quibus haererent locis eius modi accepere responsum: στείχετε κτλ.

adde Steph. Byz. s. v. Ἀβοριγῖνες.

v. 1: Σατόρνιον Macrob. cod. vet. Σατουρνίαν aut Σατουρνιαίαν Steph. codd. „Σατόρνιον αἶαν probandum vel Σατορνίδα γαῖαν" Meinekius ap. Steph. ‖ v. 3: ἐκπέμπετε Macrob. ‖ 4: Κρονίδῃ pro Ἅιδῃ Steph. ‖

9) Steph. Byz. Ἄρνη ... περὶ ἧς ὁ χρησμός· Ἄρνη κτλ. adde Eust. ad Hom. p. 270, 33. cf. C. O. Mülleri Orchom. p. 385 adnot. 4.

10) Plut. de def. or. 39: ὁ Θετταλοῖς περὶ Ἄρνης δοθεὶς χρησμὸς ἐκέλευε φράζειν ‚κωφοῦ τ' ἀκοὴν τυφλοῖό τε δέρξιν'. ἡ δὲ μνήμη καὶ κωφῶν πραγμάτων ἀκοὴ καὶ τυφλῶν ὄψις ἡμῖν ἐστιν.

δέρξις ἅπ. εἰρ.

11.

Νίκην σοι φαίνουσι θεοὶ δι᾽ ὁδοῖο στενυγρῆς.

12.

a) *Ἄγγελον ἡμέτερον κτείνας ἀνεμάξαο ποινήν.*

b) *Εὔχεο Καρνείῳ τελέειν σέβας Ἀπόλλωνι.*

13.

Πάγχρυσον φέρε κόσμον ἑλὼν ἀπὸ σῆς ἀλόχοιο
δειρῆς ὅν ποτε Κύπρις ἔδωχ᾽ Ἑλένῃ μέγα χάρμα.
ὥς σοὶ Ἀλέξανδρος τίσιν ἐχθίστην ἀποδώσει.

14.

Τίπτε δύω βασιλῆες, ὁ μὲν Τρώων ὁ δ᾽ Ἀχαιῶν,
οὐκέθ᾽ ὁμοφρονέοντες ἐμὸν δόμον εἰσανέβητε;

---

11) Eus. pr. eo. V 20: *Ἀριστόμαχος οὖν ὁ Ἀριδαίου ἐπειδὴ ο Ἀριδαῖος ἀπετεθνήκει ἐν τῇ εἰσβολῇ ἔρχεται ἀκουσόμενος παρὰ σοῦ περὶ τῆς ὁδοῦ . . σὺ δὲ αὐτῷ λέγεις· Νίκην κτλ.*

cf. Wolff. Porphyr. p. 79. 80. *στενύγρων* codd. et edit. *στενυγρῆς* Wolffius.

12. a) Eus. pr. eo. V 20: *Τήμενος ἐλθὼν ἀπεμέμφετο τῇ ἀποτυχίᾳ καὶ ἤκουσεν ὅτι ποινὴν ἀνεμάξατο τοῦ θείου ἀγγέλου καὶ τὸ ὑπὲρ τῆς εὐχῆς Ἀπήλλωνι Καρνείῳ ποίημα τὸ διὰ τοῦ χρησμοῦ λέγον· Ἄγγελον κτλ. τί οὖν, φησὶν ὁ Τήμενος; τί χρὴ ποιεῖν; καὶ πῶς ἂν ἱλασαίμην ὑμᾶς; Εὔχεο κτλ.*

b) *Καρνίῳ* vel. *Κρανίῳ* codd. *Καρνείῳ* Dindorfius.

13) Athenaeus VI p. 232 f: [*ὁ ἐν Δελφοῖς θεὸς*] *ἔχρησε Μενελάῳ πυνθανομένῳ πῶς ἂν τὸν Ἀλέξανδρον τιμωρήσαιτο· Πάγχρ. κτλ.* cf. Müller hist. gr. fr. I 275.

2: *μέγα χάρμα* Il. XXIV 706. hymn. XVI 4.

14) Schol cod. *A* ad Il. V 64: *Μενέλαος εἰς Δελφοὺς παρεγένετο περὶ παίδων γενέσεως χρησμὸν ληψόμενος. συνείπετο δὲ αὐτῷ καὶ Ἀλέξανδρος περὶ γυναικὸς μαντευόμενος. γενομένων οὖν ἀμφοτέρων ἐπὶ τὸ μαντεῖον λέγεται χρῆσαι τὴν Πυθίαν τάδε· Τίπτε κτλ.*

ἤτοι ο μὲν πώλοιο γόνον διζήμενος εὑρεῖν,
αὐτὰρ ὁ πῶλον ἄγειν. τί νυ μήσεαι, ὦ μεγάλε Ζεῦ;

15.

Ὄλβιε καὶ δύσδαιμον (ἔφυς γὰρ ἐπ᾽ ἀμφοτέροισι)
πατρίδα δίζηαι· μητρὶς δέ τοι, οὐ πατρίς ἐστιν.
ἔστιν Ἴος νῆσος μητρὸς πατρὶς ἥ σε θανόντα
δέξεται· ἀλλὰ νέων παίδων αἴνιγμα φύλαξαι.

16.

Ὄλβιε καὶ δύσδαιμον (ἔφυς γὰρ ἐπ᾽ ἀμφοτέροισι)
πατρίδα δίζηαι· μητρὶς δέ τοι οὐ πατρίς ἐστι
[μητρόπολις ἐν νήσῳ ἀπὸ Κρήτης εὐρείης]
Μίνωος γαίης οὔτε σχεδὸν οὔτ᾽ ἀποτηλοῦ·
ἐν τῇ μοῖρ᾽ ἐστίν σε τελευτῆσαι βιότοιο,
εὖτ᾽ ἂν ἀπὸ γλώσσης παίδων μὴ γνῷς ἐπακούσας
δυσξύνετον σκολιοῖσι λόγοις εἰρημένον ὕμνον·

---

adde schol. alior. codd. ad eundem locum et anth. Pal. XIV 100.

v. 2: ὁμὰ φρονέοντες *B* aliique. οὐ ταὐτὰ φρ. anth. Pal. || 3: γενεὴν ἵππου pro πώλοιο γόνον *B*. || 4: ἑλεῖν pro ἄγειν *A*. || αὐτὰρ ὁ ἄκοιτιν ἄγειν. τί νυ μήσεαι ὦ μάκαρ ὦ Ζεῦ *B*. ||

15) Paus. X 24, 2: τὸ μάντευμα ὅ γενέσθαι τῷ Ὁμήρῳ [ἐν Δελφοῖς] λέγουσιν· Ὄλβιε κτλ.

adde Steph. Byz. s. v. Ἴος. vv. 3—4: anth. Pal. XIV 65. Cert. Hom. et Hes. p. 7 [ed. Nietzsche], cf. Müll. fr. hist. II, p. 186. Dübner Ps. Plutarch. p. 101. Tzetz. ad Il. 154, 17. [ed. G. Hermann.] Wolff de noviss. orac. aet. p. 5. 6.

in v. 4: ἀνδρῶν pro παίδων cert. H. Tzetz. || 2: νόστον δίζηαι Od. IX 100. || 3: ἔστι τις form. epica, ut ἔστι δέ τις νῆσος Od. IV 844. || „exstat et in Procli chrestomathia. p. 466“ Dübner.

16) Anth. Pal. XIV 66. cert. Hom. p. 7. Euseb. pr. ev. V 33. cf. Tzetz. chil. XIII 651.

v. 2: μητρὸς et πατρός et versum tertium exhibent anth.

δοιὰς γὰρ ζωῆς μοίρας λάχες· ἣν μὲν ἀμαυρὰν,
ἠελίων δισσῶν, τὴν δ' ἀθανάτοις ἰσόμοιρον,
καὶ ζῶν καὶ φθίμενος· φθίμενος δ' ἔτι πολλὸν ἀγήρως.

17.

Καὶ τότ' ἐν εἰναλίῃ Κύπρῳ μέγας ἔσσετ' ἀοιδός,
ὅν τε Θεμιστὼ τέξει ἐπ' ἀγροῦ, δῖα γυναικῶν,
νόσφι πολυκτεάνοιο πολύκλειτον Σαλαμῖνος.
Κύπρον δὲ προλιπὼν διεροῖς θ' ὑπὸ κύμασιν ἀρθεὶς
Ἑλλάδος εὐρυχόρου μοῦνος κακὰ πρῶτος ἀείσας
ἔσσεται ἀθάνατος καὶ ἀγήραος ἤματα πάντα.

18.

Ἄγνωστόν μ' ἔρεαι γενεὴν καὶ πατρίδα γαῖαν
ἀμβροσίου σειρῆνος· ἔδος δ' Ἰθακήσιός ἐστιν,

Pal. et cert. Hom. *μητρίς* et *πατρίς* omisso v. 3 Eus. ‖ 4: *Μίνωος δ' ἀπὸ γῆς* Eus. ‖ 5: *ἐν τῇ σῇ μοῖρ' ἐστὶ* cert. Hom. ‖ 6: *ἐσακούσας* anth. Pal. om. Eus. ‖ 7: *ἀξύνετον πολλοῖσι* Eus. ‖ 8: *σοὶ ζωὴ δοιὰς μοίρας λάχεν· ἡ μὲν ἀμ.* Eus. ‖ 9: *η δ' ἀθ. ἰσόμοιρος* Eus. ‖ *ἠελίδων ὅσσων ἦν δ'* cert. Hom. ‖ 10: *ζῶντι δὲ καὶ φθίμενῳ· φθίμενος δ' ἔτι πολλὰ* . . anth. Pal. *ζῶν καὶ ἀποφιθέμνος* om. cet. Eus. ‖

v. 3: *ἀπὸ Κρήτης εὐρείης* Od. XIV 252. ‖ 4. *γαίης Κυκλώπων οὔτε σχεδὸν οὔτ' ἀποτηλοῦ* Od. IX 117. ‖ 5: *μοῖρ' ἐστι* Od. V 41. IX 532 saep. ‖

17) Paus. X 24, 3: *Κύπριοι . . ὑπὸ Εὔκλου προθεσπισθῆναι τὰ ἐς τὴν γένεσιν τὴν τοῦ Ὁμήρου φασὶν ἐν τοῖσδε· Καὶ τότε κτλ.*

4: *ἱεροῖς* Schub. Walz („nobis placet") *δ' ἴρος* aut *δ' ἵερος* aut *δι' ἔρος* codd. ‖ 2: *δῖα γυναικῶν* Od. XX 147. ‖ *ἐπ' ἀγροῦ νόσφι πόληος* Od. I 185. ‖ 5: *Ἑλλὰς εὐρύχορος* Il. IX 478 ‖ 6: *εἴην ἀθάνατος καὶ ἀγήραος ἤματα πάντα* Il. VIII 539 saep. ‖

18) Cert. Hom. et Hes. p. 5 [ed. Nietzsche]: *ὅπερ δ' ἀκηκόαμεν ἐπὶ τοῦ θειοτάτου αὐτοκράτορος Ἀδριανοῦ εἰρημένον ὑπὸ τῆς Πυθίας περὶ Ὁμήρου, ἐκθησόμεθα· τοῖ γὰρ*

Τηλέμαχος δὲ πατὴρ καὶ Νεστορέη Ἐπικάστη
μήτηρ, ἥ μιν ἔτικτε βροτῶν πολὺ πάνσοφον ἄνδρα.

19.

Φράζεο δ' Ἄρειόν τε πάγον βωμούς τε θυώδεις
Εὐμενίδων ὅθι χρὴ Λακεδαιμονίους σ' ἱκετεῦσαι
δουρὶ πιεζομένους. τοὺς μὴ σὺ κτεῖνε σιδήρῳ
μηδ' ἱκέτας ἀδικεῖν· ἱκέται ἱεροί τε καὶ ἁγνοί.

20.

Ἀσκοῦ τὸν προὔχοντα πόδα, μέγα φέρτατε λαῶν,
μὴ λύσῃς πρὶν δῆμον Ἀθηνέων εἰσαφκέσθαι.

βασιλέως πυθομένου πόθεν Ὅμηρος καὶ τίνος ἀπεφοίβασε δι' ἑξαμέτρου τόνδε τὸν τρόπον· Ἄγνωστον κτλ.

adde anth. Pal. XIV 102.

in v. 1: *ἐρέεις γενεῆς κ. πατρίδος αἴης* a. Pal. ‖ 2: *ἕδος δ' Ἰθάκη τις Ὁμήρου* a. P. ‖ 3: *Πολυκάστη* a. P. ‖ 4: *ἄλλων* pro *ἄνδρα* a. P. ‖ cf. Wolff de noviss. orac. aet. p. 5.

19) Paus. VII 25, 1: *Ἀθηναίοις γὰρ ἐπὶ ἡλικίας μάλιστα τῆς Ἀφείδαντος ἀφίκετο παρὰ τοῦ ἐν Δωδώνῃ Διὸς τὰ ἔπη τάδε· Φράζεο κτλ.*

2: *ὅθι* Valckenaer. pro *ὅτι*. ‖

1: *βωμὸς θυώδης* hymn. Ap. Del. 87. h. Aphr. 59.

20) Plut. Thes. III: *Αἰγεῖ δὲ παίδων δεομένῳ τὴν Πυθίαν ἀνελεῖν λέγουσι τὸν θρυλούμενον χρησμόν . . . . Ἀσκοῦ κτλ.* adde schol. Eur. Med. 679. Apollod. III 15, 6. cf. Tzetz. ad Lyc. 494. schol. Eur. Hipp. 11. anth. Pal. XIV 150.

v. 1: *ποδαιόνα, φίλτατε λαῶν* anth. Par. ‖ 2: *μὴ λῦσαι πρὶν γοῦνον Ἀθηναίων ἀφικέσθαι* a. P. ‖ *πρὶν ἐς ἄκρον Ἀθηναίων ἀφίκηαι* schol. Eur. Apollod. ‖

v. 1: *μέγα φέρτατ' Ἀχαιῶν* Il. XVI 21. Od. XI 478. *μέγα φέρτατε λαῶν* Hes. sc. 330. ‖ 2: *πρὶν Ἴλιον εἰσαφικέσθαι* Il. XXII 17. ‖ *Λυκίης ἐν δήμῳ* Il. XVI 514 saep. ‖

21.

Λοιμοῦ καὶ λιμοῦ τέλος ἔσσεται ἤνπερ ἑαυτῶν
σώματ' ἀπὸ κλήρου ἄρρεν καὶ θῆλυ νέμητε
Μίνωι, εἰς ἅλα δῖαν ἀποστέλλοντες, ἀμοιβὴν
τῶν ἀδίκων ἔργων· οὕτω θεὸς ἵλαος ἔσται.

22.

Αἰγείδη Θησεῦ, Πιτθηίδος ἔκγονε κούρης,
πολλαῖς τοι πολίεσσι πατὴρ ἐμὸς ἐγκατέθηκε
τέρματα καὶ κλωστῆρας ἐν ὑμετέρῳ πτολιέθρῳ.
ἀλλὰ σὺ μή τι λίην πεπονημένος ἔνδοθι θυμὸν
βουλεύειν· ἀσκὸς γὰρ ἐν οἴδματι ποντοπορεύσει.

23.

Ἀσκὸς βαπτίζῃ· δῦναι δέ τοι οὐ θέμις ἐστίν.

24.

Ξάνθ' ἀπάτην ὁ μέλας φρονέει σχήσει τε Μελαινάς.

21) Eus. pr. ev. V 19: *τί δ'; οὐκ Ἀθηναῖοι τὸν Ἀνδρόγεων ἀποκτείναντες καὶ λοιμώξαντες ἐπὶ τούτῳ εἶπον ἂν μετανοεῖν; ἢ μὴ λεγόντων οὐ σὲ προςῆκον ἦν εἰπεῖν, μετανοεῖτε μᾶλλον ἢ Λοιμοῦ κτλ.*

22) Plut. Thes. XXIV: . . . . *διεκόσμει τὴν πολιτείαν ἀπὸ θεῶν ἀρχόμενος· ἧκε γὰρ αὐτῷ χρησμὸς ἐκ Δελφῶν μαντευομένῳ περὶ τῆς πόλεως· Αἰγ. κτλ.*

v. 4: *ἔνδοθι θυμός* Il. I 243 saep. cf. *θυμὸν ἀχεύων* Il. V 869, *θυμὸν ἀκηχεμένος* Il. XVIII 29. ‖ 5: *ποντοπορεύω* Od. V 277 saep. ‖

23) Plut. Thes. XXIV: . . *καὶ Σίβυλλαν ἀποστοματίσαι πρὸς τὴν πόλιν ἱστοροῦσιν ἀναφθεγξαμένην· Ἀσκὸς κτλ.*

24) Polyaen. I 19: *Ἀθηναίων στρατηγὸς ἦν Μέλανθος, Βοιωτῶν Ξάνθος. ἐπολέμουν Μελαινῶν πέρι. Μελαινοὶ χωρίον μεθόριον Ἀττικῆς καὶ Βοιωτίας. ὁ θεὸς ἔχρησε τῷ Ξάνθῳ τάδε· Ξάνθ' κτλ.*

Eandem rem tradunt Strabo 393 et Arsenius s. v. *ἀπιὼν εἰς ἀπατούρια* et Conon narrat XXXIX [Westerm. *μυθογρ.* p. 142]. Versus corruptissimus exstat. ‖

25.

Νηλεῦ φράζευ ὅπως ἄδικον Καρῶν γένος ἀνδρῶν
ἐξελάσας Ἕλληνας Ἰωνάς τ' ἐγκατανάσσῃς.

26.

Βοιωτοὶ δ' ἵπποιο περιστείχουσι Κολωνόν,
ἔνθα λίθος τρικάρηνος ἔχει καὶ χάλκεος οὐδός.

27.

Ζεὺς ἦν Ζεύς ἐστι Ζεὺς ἔσσεται ὦ μεγάλε Ζεῦ·
γᾶ καρποὺς ἀνίει, διὸ κλῄζετε ματέρα γαῖαν.

28.

Ξυμφέρετε πτερά τ' οἰωνοὶ κηρόν τε μέλιτται.

---

25) Schol. Aristid. 110, 18 [190 C Steph.]: . . *ὁ Νηλεὺς ἠρώτησε [τὸν Ἀπόλλωνα] [ποῦ] πόλιν ἄρα οἰκήσει. ἔχρησεν οὕτως· Νηλεῦ κτλ.*

v. 1: affert Tzetzes ad Lyc. 1378.

1: *Νηλεύς* schol. Arist. ‖ *ἀδίκων* schol. Ar. et Tzetz. ‖ 2: *Ἕλληνας καὶ Ἴωνας ἐγκαταικῆσαι* schol. Arist. *Ἕλληνας Ἰωνάς τ' ἐγκατανάσσῃς* Werferus. ‖

26) Schol. Soph. Oed. R. 57 ad *χαλκόπους ὁδός· ὡς οὕτω τινὸς καλουμένου τόπου ἐν τῷ ἱερῷ χαλκόποδος ὁδοῦ. φησὶ δὲ Ἀπολλόδωρος δι' αὐτοῦ κατάβασιν εἶναι εἰς Ἅιδου. καὶ Ἴστρος δὲ μνημονεύει τοῦ χαλκοῦ ὁδοῦ καὶ Ἀστυδάμας· καί τις τῶν χρησμοποιῶν φησι· Βοιωτοὶ κτλ.*

1: *ἵπποισι* Reisigius cf. G. Hermann ad l. cit. ‖

27) Paus. X 12, 5: . . *αἱ Πέλειαι παρὰ Δωδωναίοις ἐμαντεύσαντο . . . λέγουσι καὶ ᾄσαι γυναικῶν πρώτας τάδε τὰ ἔπη· Ζεὺς κτλ.*

28) Plut. de Pyth. or. XVII: *ἔνιοι δὲ καὶ πρῶτόν φασιν ἡρῷον ἐνταῦθα μέτρον ἀκουσθῆναι· Ξυμφ. κτλ.*

adde schol. Eur. Phoen. 1087. Philostrat. VI 11, 14. cf. Paus. X 5, 5 sq.

τε post *πτερά* apud Plut. deest. ‖

29.

Πολλοὶ θριοβόλοι, παῦροι δέ τε μάντιες ἄνδρες.

30.

Κινήσω καὶ Δῆλον ἀκίνητόν περ ἐοῦσαν.

31.

. . . .
οἰκητὰς Δήλοιο θυώδεος ἠδ' ἱερῆας.

32.

*Ἶσόν τοι Δῆλόν τε Καλαύρειάν τε νέμεσθαι
Πυθώ τ' ἠγαθέην καὶ Ταίναρον ἠνεμόεσσαν.*

---

29) Steph. Byz. *Θρῖα· . . θρῖαι δὲ αἱ μαντικαὶ ψῆφοι ἃς εὗρεν Ἀθηνᾶ· ἀχθόμενος δὲ . . . ἄπιστον ὁ Ζεὺς ἐποίησε τὴν διὰ τῶν θριῶν μαντικὴν εὐδοκιμοῦσαν. διὸ καὶ Ἀπόλλων ἔφη· Πολλοὶ κτλ.*
adde Zenob. V 75. cf. Lobeck. Aglaoph. II 814. praef. nostr. p. 7.

30) Her. VI 98: *καὶ ἐν χρησμῷ ἦν γεγραμμένον περὶ αὐτῆς ὧδε· Κινήσω κτλ.*
adde Eust. ad Dion. Per. 522.

31) Eus. pr. ev. V 26: . . *εἰς Ὑπερβορέους ὅθεν ἀφῖχθαι λέγουσι κατὰ χρησμὸν Ἀστερίας ἄλλης μάντεως Οἰκητὰς κτλ.*
θυώδης Ὄλυμπος hymn. Herm. 322. ||

32) Strabo VIII p. 374: *ἔνθα [ἐν Καλαυρίᾳ] ἦν ἄσυλον Ποσειδῶνος ἱερὸν καί φασι τὸν θεὸν τοῦτον ἀλλάξασθαι πρὸς μὲν Λητὼ τὴν Καλαυρίαν ἀντιδόντα Δῆλον, πρὸς Ἀπόλλωνα δὲ Ταίναρον ἀντιδόντα Πυθώ. Ἔφορος δὲ καὶ τὸν χρησμὸν λέγει· Ἶσον κτλ.*
adde Paus. II 33, 2. Suid. s. v. *ἀνεῖλε*. Eust. ad Dion. Per. 499. cf. Müll. hist. gr. fr. I p. 248.
v. 1: *Καλαυρίην* Suid. *Καλαυρίαν* Eustath. || *τίθημι* pro *νέμεσθαι* Suid. || 2: *ἠνεμόεντα* Strab. Eustath. ||
2: *ἠγαθέη Πυθώ* Od. VIII 80. hymn. XXIV 2.

33.

Ἄγχοῦ δὴ βαρὺν ἰὸν ἐπ᾽ ἀνέρι Φοῖβος ἐφήσει
σίντῃ Παρνησοῖο· φόνου δὲ ἑ Κρήσιοι ἄνδρες
χεῖρας ἁγιστεύουσι· τὸ δὲ κλέος οὔποτ᾽ ὀλεῖται.

34.

Ὦ μέγα χάρμα βροτοῖς βλαστὼν Ἀσκληπιὲ πᾶσιν,
ὃν Φλεγυηὶς ἔτικτεν ἐμοὶ φιλότητι μιγεῖσα
ἱμερόεσσα Κορωνὶς ἐνὶ κραναῇ Ἐπιδαύρῳ.

35.

Ἡρακλέην δέ σε Φοῖβος ἐπώνυμον ἐξονομάζει·
ἦρα γὰρ ἀνθρώποισι φέρων κλέος ἄφθιτον ἕξεις.

36.

Πατρὶ μέλει Πίσης, Πυθὼ δ᾽ ἐμοὶ ἐγγυάλιξεν.

---

33) Paus. X 6, 7: . . *παῖς ὑβριστὴς ἐσύλησε τοῦ θεοῦ τὸ ἱερὸν . . . οἱ Δελφοὶ τὸν Ἀπόλλωνα ἱκέτευον ἀμῦναί σφισι τὸν ἐπιόντα κίνδυνον. καὶ ἡ Φημονόη . . ἔχρησεν· Ἄγχοῦ κτλ.*

v. 2: *δέ ἑ* Meinekius ZAW 1845 p. 1067 pro corruptis codicum verbis *δε εκ κρησιοι*. ||

34) Paus. II 26, 7: *Ἀπολλοφάνει τῷ Ἀρκάδι ἐλθόντι ἐς Δελφοὺς καὶ ἐρομένῳ τὸν θεὸν εἰ γένοιτο ἐξ Ἀρσινόης Ἀσκληπιὸς καὶ Μεσσηνίοις πολίτης εἴη, ἔχρησεν ἡ Πυθία· Ὦ μέγα κτλ.*

1: *μέγα χάρμα* Il. XXIV 706; *χάρμα βροτοῖσιν* Il. XIV 325. || 2: *μιγῆναί τινι φιλότητι* form. ep. || 3: *κραναή* apud Homerum Ithacae cognomen est. ||

35) Ael. var. hist. II 32: *λέγουσί τινες τὸν Ἡρακλῆν . . ἀπὸ γενεᾶς Ἡρακλῆν οὐ κεκλῆσθαι, χρόνῳ δέ ὕστερον ἐλθόντα ἐς Δελφοὺς . . προσακοῦσαι . . παρὰ τοῦ θεοῦ ταῦτα· Ἡρακλ. κτλ.*

adde Suid. *Ἡρακλῆς ξενίζεται.* Eustath. ad Il. V 561. Etymol. M. p. 435, 18. Tzetz. ad Lyc. 662.

1: *Ἡρακλέην* Etym. M. probatque Bernhardyus ad Suidam; ceteri *Ἡρακλῆν*, Aelianus *Ἡρακλῆ*. ||

36) Paus. V 3, 1: *τῆς δὲ ἐπὶ τοὺς Πισαίους στρατείας τὸν Ἡρακλῆ χρησμὸς ἐπέσχεν ἐκ Δελφῶν ἔχων οὕτω· Πατρὶ κτλ.*

37.

Ἐργῖνε Κλυμένοιο πάϊ Πρεσβωνιάδαο,
ὄψ' ἦλθες γενεὴν διζήμενος· ἀλλ' ἔτι καὶ νῦν
ἱστοβοῆι γέροντι νέην ποτίβαλλε κορώνην.

38.

Ἀγκαῖ' εἰναλίην νῆσον Σάμον ἀντὶ Σάμης σε
οἰκίζειν κέλομαι· Φυλλὰς δ' ὀνομάζεται αὕτη.

39.

Χείρωνος φίλε τέκνον ἀγακλειτοῖο, Κάρυστε,
Πήλιον ἐκπρολιπὼν Εὐβοίας ἄκρον ἱκέσθαι,
ἔνθ' ἱερὰν χώραν κτίζειν σοι θέσφατόν ἐστιν.
ἀλλ' ἴθι μηκέτι μέλλε.

40.

Καὶ δ' αὖθ' Ἱππολύτοιο φίλον κάρα εἰς ἅλα βαίνει.

---

37) Paus. IX 37, 4: *Ἐργίνῳ . . ἐλθόντι ἐς Δελφοὺς καὶ ἐρομένῳ περὶ παίδων χρᾷ ἡ Πυθία· Ἐργῖνε κτλ.*

Eus. pr. ev. V 30.

2: *ἀλλὰ καὶ ἔμπης* Eus. ‖ 3: *νέαν* Eus. ‖ cf. Macar: *αἰεὶ δὲ γέροντι νέαν ποτίβαλλε κόρην παρεγγυᾷ ὁ λόγος πρεσβυτέροις τὰς ἀκμαζούσας συνευνάζειν.* Arsen.: *αἰεὶ γέροντι νέαν ποτόβαλλε κόρην· ἐπὶ τῶν πρεσβυτέρων βουλομένων δὲ νέαις συνευνάζεσθαι.* Apostol. II 18.

cf. Plut. an seni sit ger. res publ. I 12: *τὸ τῆς Πυθίας „ὀψὲ ἦλθες“.*

38) Jamblich. vit. Pyth: *λέγεται Ἀγκαίῳ γενέσθαι χρησμὸν παρὰ τῆς Πυθίας συναγαγεῖν ἀποικίαν ἐκ τῆς Κεφαλληνίας . . καὶ οἰκίσαι νῆσον . . τὴν Μελάμφυλλον καλουμένην προσαγορεῦσαί τε τὴν πόλιν Σάμον ἀντὶ τῆς Σάμης τῆς ἐν Κεφαλληνίᾳ.*

39) Anth. Pal. XIV 68: *χρησμὸς δοθεὶς Καρύστῳ.* adde Eus. VI 7. de dialecto praef. p. 22.

v. 4: om. anth. Pal. ‖

φίλε τέκνον, ἀγακλειτός, θέσφατόν ἐστι [Od. IV 561] form. ep. ‖

40) Exstat Plut. Num. IV quem locum conferas.

41.

. . . .
Τρινακίης νήσου, ἣν ἔκτισε Τρίνακος ἥρως,
υἱὸς ποντομέδοιο Ποσειδάωνος ἄνακτος.

42.

Ἔστι δὲ Μαιναλίη δυσχείμερος, ἔνθα τε κεῖται
Ἀρκάς, ἀφ' οὗ δὴ πάντες ἐπίκλησιν καλέονται.
ἔνθα σ' ἐγὼ κέλομαι στείχειν καὶ εὔφρονι θυμῷ
Ἀρκάδ' ἀειράμενον κατάγειν εἰς ἄστυ ἐραννόν,
οὗ τρίοδος καὶ τετράοδος καὶ πεντακέλευθος,
ἔνθα τε δεῖ τέμενός τε θυηλάς τ' Ἀρκάδι τεύχειν.

43.

Εἰμὶ δ' ἐγὼ γεγαυῖα μέσον θνητοῦ τε θεᾶς τε
νύμφης ἀθανάτης, πατρὸς δ' αὖ κητοφάγοιο,
μητρόθεν Ἰδογενής, πατρὶς δέ μοί ἐστιν ἐρυθρὴ
Μάρπησσος, μητρὸς ἱερή, ποταμὸς δ' Ἀιδωνεύς.

---

41) Stephanus Byz. s. v. *Τρινακρία* ita Siciliam vocatam esse narrat *διὰ τὸ Τρίνακον βούκολον τὸν Ποσειδῶνος Σικελίας ἄρξαι Τρινακίης νήσου κτλ.* Verba *ἣν ἔκτισε Τρίνακος ἥρως* servavit etiam Eustath. ad Dion. 467.

42) Paus. VIII 9, 3: *τὰ ὀστᾶ τοῦ Ἀρκάδος ἐπηγάγοντο ἐκ Μαινάλου χρησμοῦ σφίσιν [τοῖς Μαντινεῦσιν] ἐλθόντος ἐκ Δελφῶν· Ἔστι δὲ κτλ.*

v. 3: *ἔνθα τ' ἐγὼ* Struvius. ‖ 4: *ἀειραμένους* codd.; *ἀειράμενον* Porsonus. ‖ 6: *ἔνθα τε δὴ* codd; *ἔνθα θ' ἕδη* Struvius; *ἔνθα τε δεῖ* Porsonus. ‖

v. 1: *δυσχείμερος* apud Homerum Dodonae cognomen est; cf. Il. II 750. XVI 234. ‖ 2: *ἐπίκλησιν καλέουσιν* Od. V 273. ‖ 3: *θυμὸς εὔφρων* Od. XVII 531. ‖ 4: *πόλιν ἐραννήν* Od. VII 18. ‖

43) Paus. X 12, 3: *ἑτέρωθι δὲ εἶπε τῶν χρησμῶν [ἡ Σίβυλλα] ὡς μητρὸς μὲν ἀθανάτης εἴη μιᾶς τῶν ἐν Ἴδῃ νυμφῶν, πατρὸς δὲ ἀνθρώπου· καὶ οὕτω λέγει τὰ ἔπη· Εἰμὶ κτλ.*

2: *κητοφάγος ἄπ. εἰρ. πατρὸς δὲ κητοφ.* codd. Bekkerus SW: *πατρὸς δ' ἐκ σιτοφάγοιο* Dindorfius et Schubartus: *πατρὸς δ' αὖ* Kayserus. ‖ 4: *ποταμός τε* Bekkerus SW ceteri: *δ'* Kayserus. ‖

44.

[Δίζῃ] ποῖ τυ λαβὼν [ἄξω] καὶ ποῖ τυ καθίξω.

. . . .

[ἔνθα τυ τὰν] οἴκησιν ἔχειν ἁλιῇ τε κεκλῆσθαι.

45.

Ὄλβιος οὗτος ἀνὴρ ὃς ἐμὸν δόμον ἀμφιπολεύει,
Ἡσίοδος Μούσῃσι τετιμένος ἀθανάτῃσι·
τοῦ δ' ἤτοι κλέος ἔσται ὅσον τ' ἐπικίδναται ἠώς·
ἀλλὰ Διὸς πεφύλαξο Νεμείου κάλλιμον ἄλσος·
κεῖθι δέ τοι θανάτοιο τέλος πεπρωμένον ἐστίν.

---

44) Steph. Byz. Ἁλιεῖς πόλις Ἀργολικῆς. Ἔφορος δὲ ἐν τῷ ἕκτῳ ὅτι Τιρύνθιοί εἰσιν οὗτοι καὶ ἐξαναστάντες ἐβουλεύοντο οἰκεῖν τινα τόπον καὶ ἠρώτων τὸν θεόν. ἔχρησε δὲ οὕτως· ποῖ τυ κτλ. Verba quae uncis inclusimus a Meinekio interposita sunt.

45) Certamen Homeri et Hesiodi p. 17 (Nietzsche): τοῦ δὲ ἀγῶνος διαλυθέντος διέπλευσεν ὁ Ἡσίοδος εἰς Δελφοὺς χρησόμενος καὶ τῆς νίκης ἀπαρχὰς τῷ θεῷ ἀναθήσων. Προσερχομένου δὲ αὐτοῦ τῷ ναῷ ἔνθεον γενομένην τὴν προφῆτίν φασιν εἰπεῖν· Ὄλβιος κτλ. cf. Nietzschii adnotat.

1: ἐμὸν δόμον ἀμφιπολεύει: hymn. XXIV 1, 2:

Ἱστίη ἥ τε ἄνακτος Ἀπόλλωνος ἑκάτοιο
Πυθοῖ ἐν ἠγαθέῃ ἱερὸν δόμον ἀμφιπολεύει. ‖

2: Μούσῃσι τετιμένος: Od. XIII 128: λαοῖσι τετιμένος. ‖ 3: Il. VII 458:

σὸν δ' ἦ τοι κλέος ἔσται ὅσον τ' ἐπικίδναται ἠώς. ‖

5: θανάτοιο τέλος πεπρωμένον ἐστίν: Il. III 309: Ζεὺς οἶδε ὁπποτέρῳ θανάτοιο τέλος πεπρωμένον ἐστίν. ‖

cf. Thuc. III 96: αὐλισάμενος δὲ . . ἐν τοῦ Διὸς τοῦ Νεμείου τῷ ἱερῷ ἐν ᾧ Ἡσίοδος ὁ ποιητὴς λέγεται ὑπὸ τῶν ταύτῃ ἀποθανεῖν, χρησθὲν αὐτῷ ἐν Νεμέᾳ τοῦτο παθεῖν . . ἐπορεύετο . . .

46.

Φράζεο, δῖε Καρανέ, νόῳ δ' ἐμὸν ἔνθεο μῦθον·
ἐκπρολιπὼν Ἄργος τε καὶ Ἑλλάδα καλλιγύναικα
χώρει πρὸς πηγὰς Ἀλιάκμονος· ἔνθα δ' ἂν αἶγας
βοσκομένας ἐσίδῃς, πρῶτον τότε τοι χρέων ἐστι
ζηλωτὸν ναίειν αὐτὸν γενεήν τε πρόπασαν.

47.

Ὦ γῆς ἀκρόπολιν πάσης Πελοπηίδα κλεινὴν
ναίοντες, πρέσβεις τε βροτῶν πάντων καὶ ἄριστοι,
φράζεσθ' ἐξ ἐμέθεν χρησμὸν θεοῦ ὅττι κεν εἴπω.
Ζεὺς ὑμῖν τελετῆς μῆνιν ἔχει ἣν διέχρησεν,
οὕνεκ' ἀποστέρξαντες Ὀλύμπια πασιάνακτος
Ζηνὸς — τοῦ πρῶτος μὲν ἱδρύσατο καὶ θέτο τιμὴν
Πεῖσος καὶ μετὰ τόνδε Πέλοψ ὅτε δὴ μόλεν αἶαν
Ἑλλάδα, θῆκε δ' ἔπειτ' ἔροτιν καὶ ἔπαθλα θανόντι
Οἰνομάῳ, τρίτατος δ' ἐπὶ τοῖς παῖς Ἀμφιτρύωνος
Ἡρακλέης ἐτέλεσσ' ἔροτιν καὶ ἀγῶν' ἐπὶ μήτρῳ
Τανταλίδῃ Πέλοπι φθιμένῳ — τὸν δήποθεν ὑμεῖς
λείπετε καὶ τελετήν. ἧς χωσάμενος κατὰ θυμὸν

---

46) Schol. ad Clem. Alex. Protcept. p. XIV 1: *Καρανῷ τῷ Ποιάνθους υἱῷ ἐξ Ἄργους μέλλοντι ἀποικίαν στέλλειν ἐπὶ Μακεδονίαν εἰς Δελφοὺς ἐλθόντι ἔχρησεν ὁ Ἀπόλλων· Φράζεο κτλ.*

cf. Syncell. I p. 373. 499. [Dindorf.]

v. 1: *παιδὸς γὰρ μῦθον πεπνυμένου ἔνθετο θυμῷ* Od. I 361. ‖ 2: *ἐκπρολιπών* Od. VIII 515. ‖ *Ἑλλάδα καλλιγύναικα* Il. IX 447. II 683. ‖

v. 5: *γενεάν* codd. ‖

47) Phlegon Trall. chron. I: .. *οὐκ ἄγαν δὲ προσιεμένων τὸν ἀγῶνα ἀλλὰ δυσχεραινόντων τῶν Πελοποννησίων λοιμὸς ἐπεγένετο .... ἡ δὲ Πυθία χρᾷ τάδε· Ὦ γῆς κτλ.*

v. 5: *ἀποστάντες* cod. *ἀτιμάζοντες* vel *ἀποστείλαντες* Westermannus et Müllerus [hist. fr. III 603], *ἀτιμάζονται* Krausius. ‖ *λασιάνακτος* cod., *πασινάνακτος* Westerm. ‖ 7:

ὦρσε κακὸν λιμὸν παρα τοῖς καὶ λοιμόν, ὃν ἔστι
παῦσαι ἀνορθώσαντας ἑορτὴν τῷ πάλιν αὖθις.

48.

Ὦ Πελοποννήσου ναέται, παρὰ βωμὸν ἰόντες
θύετε καὶ πείθεσθε τά κεν μάντεις ἐνέπωσιν,
Ἠλείων πρόπολοι, πατέρων νόμον ἰθύνοντες.

49.

Τὴν αὐτῶν ῥύεσθε πάτραν, πολέμου δ' ἀπέχεσθε,
κοινοδίκου φιλίας ἡγούμενοι Ἑλλήνεσσιν,
εὖτ' ἂν πενταέτης ἔλθῃ φιλόφρων ἐνιαυτός.

50.

Ἴφιτε μήλειον καρπὸν μὴ θῇς ἐπὶ νίκῃ,
ἀλλὰ τὸν ἄγριον ἀμφιτίθει καρπώδη ἐλαιόν,
ὃς νῦν ἀμφέχεται λεπτοῖσιν ὑφάσμασ' ἀράχνης.

δημουναιαν cod., δῆμον ἔναιεν Müllerus, δὴ μόλεν αἶαν Emperius. || 8: ἐροτὴν Toup. || 13: κακήν cod. Kellerus. ||

48) Phlegon Trall. chron. I: .. τοῖς Πελοποννησίοις ἡ Πυθία λέγει τάδε· Ὦ Πελ. κτλ.

adde Syncell. p. 196 B [I p. 369 Dind.] Euseb. chron. I 192 [ed. Schönii].

1: περὶ codd. παρὰ primus Scaligerus. || versus tertius ab Eusebio hoc loco omissus sequentis oraculi initium est. || Ἠλεῖοι Euseb. ||

49) Phlegon l. cit.: .. Ἠλεῖοι .. βουλόμενοι βοηθεῖν Λακεδαιμονίοις ὅτε Ἕλος ἐπολιόρκουν, πέμψαντες εἰς Δελφοὺς ἐμαντεύοντο. καὶ χρᾷ ἡ Πυθία τάδε· Τὴν κτλ.

adde Syncell. et Euseb. ll. cit.

v. 3: ἔστ' ἂν ἐνὶ ξυνόδοις in margine cod. Phleg. et Eusebius. || ἔστ' codd. εὖτ' Emperius. ||

50) Phlegon l. cit.: .. ἔδοξεν αὐτοῖς μαντεύσασθαι εἰ στέμματα περιθῶσι τοῖς νικῶσι, καὶ πέμπουσι τὸν βασιλέα Ἴφιτον εἰς θεοῦ. ὁ δὲ θεὸς ἔφη τάδε· Ἴφιτε κτλ.

v. 2: ἐλαιῶν cod. ἐλαιόν corr. Emperius. || 3: λεπτοῖσι πέπλοισιν Kellerus. ||

51.

Ἥκεις ὦ Λυκόοργε ἐμὸν ποτὶ πίονα νηὸν
Ζηνὶ φίλος καὶ πᾶσιν Ὀλύμπια δώματ' ἔχουσι.
Δίζω ἤ σε θεὸν μαντεύσομαι ἢ ἄνθρωπον·
ἀλλ' ἔτι καὶ μᾶλλον θεὸν ἔλπομαι, ὦ Λυκόοργε.
ἥκεις δ' εὐνομίην αἰτεύμενος· αὐτὰρ ἐγώ τοι
δώσω τὴν οὐκ ἄλλη ἐπιχθονίων πόλις ἕξει.

52.

Ὄλβιος οὗτος ἀνὴρ ὃς νῦν κατὰ λάινον οὐδὸν
Φοίβου Ἀπόλλωνος χρηστήριον εἰσαναβαίνει·

---

51) vv. 1—4: Her. I 65: *Λυκούργου τῶν Σπαρτιητέων δοκίμου ἀνδρὸς ἐλθόντος ἐς Δελφοὺς ἐπὶ τὸ χρηστήριον, ὡς ἐσήιε ἐς τὸ μέγαρον ἰθὺς ἡ Πυθία λέγει τάδε· Ἥκεις κτλ.*

addo Anth. Pal. XIV 69. Themist. orat. 225 D. Schol. Aristid. p. 108 [ed. Frommel]. vv. 1. 3. 4 schol. Aristot. p. 7ᵃ et 13ᵃ [ed. Brandis]. vv. 1—2 Apostol. VIII 46ᵃ. Arsen. XXVIII 59. v. 2: Plut. non posse suav. viv. XXII.

vv. 1—6: Diod. VII 14, 1. cf. Theodor. X 33. Euseb. pr. ev. V 27 et Theodor. gr. aff. cur. p. 140, 48 usque ad verbum *δώσω* in 6, additque Eusebius: *καὶ τὰ τούτοις ἐπιλεγόμενα.* cf. Plut. Lyc. V.

v. 1: *ἐμὸν ποτὶ νηὸν ἀνιών* schol. Aristid. ‖ 3: *εἴ σε θεόν* schol. Aristid. ‖ *ἠὲ βροτόν γε* unus cod. schol. Aristid. ceteri *ἢ ἄνθρωπον.* ‖ *ἠέπερ ἄνδρα* anth. Pal. ‖ 4: *ἀλλ' ἔμπης σε θεὸν μαντεύσομαι ὦ Λυκοῦργε* schol. Aristot. ‖ 5: *δ'* Eus. om. ‖ *εὐνομίαν* Diod. Theod. ‖ *διζήμενος* Diod. Theod. ‖

v. 1: *πίονα νηὸν τεύξομεν* Il. XII 346. ‖ 2: *Ὀλύμπια δώματ' ἔχουσιν* Od. III 377. ‖ 3: *δίζω ἤ . . ἤ* Il. XVI 713. ‖

52) Anth. Pal. XIV 77: in v. 4: *ἦν.*

1: *Λάινος οὐδός* de oraculo Delphico apud Homerum Il. IX 404—405:

οὐδ' ὅσα λάινος οὐδὸς ἀφήτορος ἐντὸς ἐέργει
Φοίβου Ἀπόλλωνος Πυθοῖ ἔνι πετρηέσσῃ.

et Od. VIII 80:

ἤλυθεν εὐνομίην διζήμενος· αὐτὰρ ἐγώ τοι
δώσω τὴν οὐκ ἄλλη ἐπιχθονίων πόλις ἕξει.

53.

Εἰσὶν ὁδοὶ δύο πλεῖστον ἀπ' ἀλλήλων ἀπέχουσαι·
ἡ μὲν ἐλευθερίας ἐς τίμιον οἶκον ἄγουσα,
ἡ δ' ἐπὶ δουλείας φευκτὸν δόμον ἡμερίοισι·
καὶ τὴν μὲν διά τ' ἀνδροσύνης ἱερῆς θ' ὁμονοίας
ἔστι περᾶν· ἣν δὴ λαοῖς ἡγεῖσθε κέλευθον·
τὴν δὲ διὰ στυγερῆς ἔριδος καὶ ἀνάλκιδος ἄτης
εἰσαφικάνουσιν· τὴν δὴ πεφύλαξο μάλιστα.

54.

Ἕως ἂν μαντείῃσιν ὑποσχέσιας τε καὶ ὅρκους
καὶ δίκας ἀλλήλοισι καὶ ἀλλοδαποῖσι διδῶτε,
ἁγνῶς καὶ καθαρῶς πρεσβηγενέας τιμῶντες,
Τυνδαρίδας δ' ἐποπιζόμενοι, Μενέλαν τε καὶ ἄλλους
ἀθανάτους ἥρωας οἳ ἐν Λακεδαίμονι δίῃ,
οὕτω δή χ' ὑμῶν περιφείδοιτ' εὐρυόπα Ζεύς.

55.

Ἁ φιλοχρηματία Σπάρταν ὀλεῖ, ἄλλο δὲ οὐδέν.

Πυθοῖ ἐν ἠγαθέῃ ὅθ' ὑπέρβη λάινον οὐδὸν χρησόμενος. ‖ 2: ὅτε Ἴλιον εἰσανέβαινον Od. XVIII 252. ‖

53) Diod. VII 14, 2. Eus. pr. ev. V 28.

v. 3: φυκτόν Euseb. codd. A. H. Dindorf. ‖ 4: ἱερῆς Eus. ἀρετῆς Diod. codd. unde Bekkerus et Dindorfius ἐρατῆς scribendum putaverunt. ‖ 7: εἰσαφικάνουσιν· τὴν δὲ πεφυλάχθαι Eus. ‖

54) Eus. pr. ev. V 28. v. 1: ὑποσχέσεις codd. ‖ 6: δή A. H. τάχ' C. D. F. G. τοι Gaisford. ‖

v. 3: ἁγνῶς καὶ καθαρῶς hymn. Ap. 121. ‖ 4: ἐποπίζεσθαι vocab. epic. ‖ 5: Λακεδαίμων δῖα Od. III 326. XIII 440. ‖ 7: εὐρυόπα Ζεύς form. ep. ‖

55) cf. praef. p. 17.

Schol. Aristoph. pac. 623. Schol. Eur. Androm. 445. Diod. VII 14, 3. Plut. inst. Lac. 42. Olympiod. in Plat. Alcibiad. I

56.

Εἴ κεν ἐπικτήτου μοίρης λάχος Ἀπόλλωνι
ἥμισυ δάσσωνται, πολὺ λώιον ἔσσεται αὐτοῖς.

57.

Ἀρχίλοχ' εἰς Θάσον ἐλθὲ καὶ οἴκει εὐκλέα νῆσον.

58.

Ἄγγειλον Παρίοις Τελεσίκλεες, ὥς σε κελεύω,
νήσῳ ἐν Ἠερίῃ κτίζειν εὐδείελον ἄστυ.

59.

Ἀθάνατός σοι παῖς καὶ ἀοίδιμος, ὦ Τελεσίκλεις,
ἔσσετ' ἐν ἀνθρώποισιν, ὃς ἂν πρῶτός σε προσείπῃ
νηὸς σῆς ἀποβάντα φίλῃ ἐν πατρίδι γαίῃ.

60.

Ἔστι κράτος βασίλειον ἀγανοῖς Τημενίδαισι
γαίης πλουτοφόροιο· δίδωσι γὰρ αἰγίοχος Ζεύς.

---

p. 164. Suidas s. v. διειρωνόξενοι. Zenob. II 24. Macar. II 68. cf. Clem. Alex. strom. IV 5 p. 574. Schömanni adnot. ad Plut. Ag. IX 1. Dübneri Pseudo. Plut. p. 167. Cic. de off. II 22, 77. Paus. IX 32, 10.

ἁ φιλοχρημοσύνα τὰν Σπάρταν ὀλεῖ ἄλλο κοὐδέν Olymp. ‖ ἕλοι paroemiogr. ‖ ἄλλο γὰρ οὐδέν schol. Eur. ‖ ἀλλ' ὀλεῖ οὐδέν Clemmius in mus. Rhen. XXVII p. 478. ‖

56) Eus. pr. ev. V 32: διὰ τί Χαρίλαος καὶ Ἀρχέλαος οἱ Λακεδαιμονίων βασιλεῖς Εἴ κεν κτλ.

57) Eus. pr. ev. V 31: Ἀρχιλόχῳ τῷ ἀποβαλόντι τὴν οὐσίαν ἐν πολιτικῇ φλυαρίᾳ καὶ ὑπὸ λύπης ἥκοντι πρὸς Ἀπόλλωνα. Codd. Ἀντίοχ' et Ἀντιόχῳ exhibent. ‖ οἰκεῖν coni. Ric. Volkmann [annales phil. 1859 p. 704]. ‖

58) Steph. Byz. s. v. Θάσος. Eus. pr. ev. VI 7.

59) Anth. Pal. XIV 113: χρησμὸς ἐπ' Ἀρχιλόχῳ λεχθεὶς Πυθίης ὑπ' ὀμφῆς. Euseb. pr. ev. V 33 et Theodoretus gr. aff cur. p. 141, 20 idem usque ad verba ἐν ἀνθρώποις exhibent.

60) Diodorus VII 17: ὅτι Περδίκκας τὴν ἰδίαν βασιλείαν αὐξῆσαι βουλόμενος ἠρώτησεν εἰς Δελφούς. ἡ δὲ ἔφη· Ἔστι κτλ.

ἀλλ' ἴθ' ἐπειγόμενος Βουτηίδα πρὸς πολύμηλον·
ἔνθα δ' ἂν ἀργικέρωτας ἴδῃς χιονώδεας αἶγας
εὐνηθέντας ὕπνῳ, κείνης χθονὸς ἐν δαπέδοισι
θῦε θεοῖς μακάρεσσι καὶ αὐτοῦ κτίζε πόληα.

61.

Χώρας καὶ πόλεως οἰκήτορα λαὸν ἔχοντες
ἤλθετ' ἐρησόμενοι Φοῖβον τίνα γαῖαν ἵκησθε,
ἀλλ' ἄγε δὴ φράζεσθ' ἀγαθῶν πότερόν κεν ἕλοισθε
πλοῦτον ἔχειν κτεάνων ἢ τερπνοτάτην ὑγίειαν.

---

cf. Maii adnotationem: agitur de urbis Aegarum aedificatione . . . iam vero cum hoc oraculo perbelle consentit Justinus VII 1, nisi quod ipse Carano tribuit quod Diodorus Perdiccae. „Caranus cum magna multitudine Graecorum sedes in Macedonia responso oraculi iussus quaerere, cum in Emathiam venisset, urbem Edessam, non sentientibus oppidanis, propter imbrium et nebulae magnitudinem gregem caprarum imbrem fugientium secutus occupavit; revocatusque in memoriam oraculi quo iussus erat ducibus capris imperium quaerere regni sedem statuit.

3: Βοττηίδα Dindorfius. ‖ 6: ἄστυ κτίζε πόληος codd. αὐτοῦ κτίζε πόληα Meinekius in Fleckeis. ann. LXXXVII p. 377.

3: ἐπειγόμενος adiective ponitur Il. V 902. XIV 519. saep. ‖ πολύμηλος Ὀρχόμενος Il. II 605. Ἀρκαδία πολύμ. h. Merc. 2. ‖

61) Schol. Aristoph. equ. 1091: αἰνίττεται τοὺς δοθέντας Μυσκέλλῳ καὶ Ἀρχίᾳ, τῷ μὲν Κρότωνα, τῷ δὲ Συρακούσας κτίζειν μέλλουσι καὶ φήμην ἀγαθὴν λαβεῖν αἰτουμένοις οὕτως ἔχοντας χρησμούς· χώρας κτλ.

adde Suid. s. v. Ἀρχίας et Μύσκελλος. cf. Strab. VI 2, 4 p. 269. Steph. Byz. s. v. Συρακοῦσαι. Eustath. in Dion. Per. v. 369. Leutsch. mantiss. prov. II 27. De dialecto cf. praef. p. 21.

62.

Ὀρτυγίη τις κεῖται ἐν ἠεροειδέι πόντῳ,
Τρινακίης καθύπερθεν ἵν' Ἀλφειοῦ στόμα βλύζει,
μισγόμενον πηγαῖς εὐρρείτης Ἀρεθούσης.

63.

Οὔ σε μάχης μόνον ἔργ' ἐφέπειν χερὶ Φοῖβος ἀνώγει,
ἀλλ' ἀπάτῃ μὲν ἔχει γαῖαν Μεσσηνίδα λαός,
ταῖς δ' αὐταῖς τέχναισιν ἀλώσεται αἶσπερ ὑπῆρξεν.

64.

Κῦδός σοι πολέμοιο διδοῖ θεός· ἀλλ' ἀπάταισι
φράζου μὴ Σπάρτης δόλιος λόχος ἐχθρὸς ἀνέλθῃ.
κρείσσων δὴ γὰρ Ἄρης κείνων εὐήρεα τείχη,
καί τ' ἐχυρὸν στεφάνωμα πικροὺς οἰκήτορας ἕξει,
τῶν δύο συντυχίαις κρυπτοῦ λόχου ἐξαναδύντων.

---

62) Paus. V 7, 3: . . *ὁ θεὸς Ἀρχίαν τὸν Κορίνθιον ἐς τὸν Συρακουσῶν ἀποστέλλων οἰκισμὸν καὶ τάδε εἶπε τὰ ἔπη· Ὀρτυγίη τις κτλ.*

v. 3: *μισγομένου* coni. Siebelis. || *ἐυρρείτης* Sylb. Bekkerus Siebelis: *εὐριπείης* defendit Blomfieldius ad Aesch. Agam. 183. ||

v. 1: cf. Od. III 292:

ἔστι δέ τις λισσὴ αἰπεῖά τε εἰς ἅλα πέτρη
ἐσχατιῇ Γόρτυνος ἐν ἠεροειδέι πόντῳ.

v. 2: *Ὀρτυγίης καθύπερθεν* Od. XV 404. ||

cf. Poppo ad Thuc. VI 3, 2.

63) Diodorus VIII 13, 2: *ὅτι οἱ Λακεδαιμόνιοι καταπονούμενοι ὑπὸ Μεσσηνίων ἔπεμψαν εἰς Δελφούς· ἡ δὲ ἔχρησεν· Οὔ σε κτλ.*

adde Paus. IV 12, 1. Eus. pr. ev. V 27.

v. 1: *ἄνωγεν* Paus. Eus. || 3: *τέχναις τις* Euseb. || 1: *ἔργον ἐφέπειν* Od. XIV 195. ||

64) Paus. IV 12, 3: *Ἀριστόδημος . . πέμπει καὶ αὐτὸς ἐρησομένους τὸν θεόν· ἡ δὲ Πυθία σφίσιν ἔχρησεν· Κῦδος κτλ.*

v. 3: *εἰ* pro *δή* codd. *ἦ γὰρ* Camerar. C. Odofr. Müller, *δὴ γὰρ* Lobeckius. || 4: *καὶ χορῶν* vel *χορῶν* codd. vel *καί*

οὐ πρόσθεν δὲ τέλος τόδ' ἐπόψεται ἱερὸν ἦμαρ,
πρὶν τὰ παραλλάξαντα φύσιν τὸ χρέων ἀφίκηται.

65.

Τοῖς τρίποδας περὶ βωμὸν Ἰθωμάτᾳ Διὶ πρώτοις
στήσασιν δεκάδων ἀριθμὸν δὶς πέντε δίδωσι
σὺν κύδει πολέμου γαῖαν Μεσσηνίδα δαίμων.
Ζεὺς γὰρ ἔνευσ' οὕτως. ἀπάτη δέ σε πρόσθε τίθησιν,
ἥ τ' ὀπίσω τίσις ἐστὶ, καὶ οὐ θεὸν ἐξαπατώης.
ἔρδ' ὅππη τὸ χρέων. ἄτη δ' ἄλλοισι πρὸ ἄλλων.

66.

Παρθένον Αἰπυτίδα κλῆρος καλεῖ, ἥντινα δοίης
δαίμοσι νερτερίοις καί κεν σώσειας Ἰθώμην.

67.

Εὖτε τράγος πίνῃσι Νέδης ἑλικόρροον ὕδωρ,
οὐκ ἔτι Μεσσήνην ῥύομαι· σχεδόθεν γὰρ ὄλεθρος.

τε χορῶν: καὶ τειχέων Kuhnius et C. Odofr. Müller, καί τ' ὀχυρόν Lobeckius, καί τ' ἐχυρόν in adnotat. apud SW. cf. Kayser. mus. rh. V 363. ‖ 5: κρυπτὸν λόχον cod. pars. ‖ 7: dedi ex scriptura Lobeckii. ‖

65) Paus. IV 12, 7: μετὰ δὲ ταῦτα ἐδόκει σφισιν . . πέμπειν αὖθις ἐς Δελφοὺς ἐρησομένους ὑπὲρ νίκης. ἐρησομένοις δὲ ἔχρησεν ἡ Πυθία· Τοῖς κτλ.

v. 4: etiam Paus. IV 26, 4.

v. 1: ad Ἰθωμάτᾳ cf. praef. p. 18. ‖ 5: ἔνθεον codd. οὐ θεὸν Xyland. quem sequuntur fere omnes. ἂν θεὸν Kuhnius. ἔνθεον ἐξαπατώῃ Camerar. ‖ 6: ἔρρ' coni. Kuhnius. ‖

66) Exstat apud Eus. pr. ev. V 27. De altero iambico cf. praef. p. 12.

67) Paus. IV 20, 1: . . Ἀριστομένει καὶ Θεόκλῳ ἐλθοῦσιν ἐς Δελφοὺς . . . τοσόνδε εἶπεν ἡ Πυθία· Εὖτε κτλ.

68.

οἵ τ' ἀπὸ Μεσσήνης πατάγῳ κρουνοῖς τε δαμείσης
. . .

69.

a) Μύσκελλε βραχύνωτε, φιλεῖ σ' ἑκάεργος Ἀπόλλων,
καὶ γενεὴν δώσει τοι· ὁ δὲ πρότερόν γε κελεύει
οἰκίσσαι σε Κρότωνα μέγαν καλαῖς ἐν ἀρούραις.

b) Αὐτός σοι φράζει ἑκατηβόλος· ἀλλὰ συνίει.
οὗτός μὲν Τάφιός τοι ἀνήροτος, ἥδε δὲ Χαλκίς,
ἥδε δὲ Κουρήτων ἱερὴ χθὼν αἰπήεσσα,
αἵδε δ' Ἐχινάδες εἰσί· πολὺς δ' ἐπ' ἀριστερὰ πόντος.
οὕτω δ' οὐκ ἄν φημι Λακινίου ἄκρου ἁμαρτεῖν
οὐδ' ἱερῆς Κρεμίσης οὐδ' Αἰσάρου ποταμοῖο.

c) Μύσκελλε βραχύνωτε, παρὲκ θεὸν ἄλλα ματεύων
κλαύματα μαστεύεις· δῶρον δ' ὅτι δῷ θεὸς αἴνει.

---

68) Paus. II 27, 4: ἐγὼ δὲ καὶ περὶ Εἴρας ὅντινα ἁλώσοιτο τρόπον Βάκιδα ἐφώρασα εἰρηκότα· καί οἱ καὶ τόδε ἐστὶ τῶν χρησμῶν· οἵ τ' κτλ.

69) Diod. VIII 17, 1—2: ὅτι Μύσκελλος Ἀχαιὸς ὢν τὸ γένος ἐκ Ῥύπης κατήντησεν εἰς Δελφοὺς καὶ τὸν θεὸν ἐπηρώτησε περὶ τέκνων γενέσεως· ἡ δὲ Πυθία ἀνεῖλεν οὕτως· Μύσκελλε κτλ. τοῦ δὲ Κρότωνα ἀγνοοῦντος εἰπεῖν πάλιν τὴν Πυθίαν· Αὐτός σοι κτλ. ὅτι τοῦ χρησμοῦ προστάσσοντος Κρότωνα κτίζειν ὁ Μύσκελλος τὴν περὶ τὴν Σύβαριν χώραν θαυμάσας ἐβούλετο κτίσαι καὶ ἐξέπεσε χρησμὸς αὐτῷ οὗτος· Μύσκελλε κτλ.

a) v. 2: γενεάν cod. cf. praef. p. 20. ‖ δώσει· τὸ δέ πρότερόν σε κελεύει οἰκῆσαι δέ cod. ‖ v. 1: ἑκάεργος Ἀπόλλων form. ep. ‖

b) v. 3: ἡ ἱερὰ χθών cod. cf. praef. p. 20. ‖ αἰπήεσσα ex coni. additum est. ‖ 5: οὕτω σ' Dindorf. ‖ 6: ἱερᾶς cod. ‖ v. 1: ἑκατηβόλος epic. ‖

c) adde Strab. VI p. 262 et Zenob. III 42. cf. Leutschii illo loco adnotat. v. 1: καλαν ωστε Diod. cod. κολόνωτε O. Müllerus [Götting. gelehrte anzeigen 1832 p. 139]. ἀγκυλόνωτε Lobeck.

70.

a) *Καλόν τοι τὸ μεταξὺ Κορίνθου καὶ Σικυῶνος·*
ἀλλ᾽ οὐκ οἰκήσεις, οὐδ᾽ εἰ παγχάλκεος εἴης.
Σατύριον φράζου Τάραντός τ᾽ ἀγλαὸν ὕδωρ
καὶ λιμένα σκαιὸν καὶ ὅπου τράγος ἁλμυρὸν οἶδμα
ἀμφαγαπᾷ τέγγων ἄκρον πολιοῖο γενείου·
ἔνθα Τάραντα ποιοῦ ἐπὶ Σατύριον βεβαῶτα.

b) *Σατύριόν τοι ἔδωκα Τάραντά τε πίονα δῆμον*
οἰκῆσαι καὶ πῆμα Ἰαπύγεσσι γενέσθαι.

71.

Ἔντιμ᾽ ἠδὲ Κράτωνος ἀγακλέος υἱὲ δαΐφρον,
ἐλθόντες Σικελὴν χθόνα πίονα ναίετον ἄμφω,
δειμάμενοι πτολίεθρον ὁμοῦ Κρητῶν Ῥοδίων τε
πὰρ προχοὰς ποταμοῖο Γέλα συνομώνυμον ἁγνόν.

---

path. 136 idque probat Meinekius in vindiciis Strabonianis p. 63. || *παρὲκ θεοῦ* Dindorf. || *παρες* Strab. codd. unde Meinek. *παρεὶς* coniecit l. c. || *σέθεν* pro *θεὸν* Strab. || *ἄλλο* Strab. || v. 2: *κλάσματα θηρεύεις* Strab. || *ἐπαινεῖν* Strab. ||

70) Diodor. VIII 21, 3: . . *οἱ δὲ ἐπευνακταὶ πέμψαντες ἐς Δελφοὺς ἐπηρώτων εἰ δίδωσιν αὐτοῖς τὴν Σικυωνίαν· ἡ δὲ ἔφη· Καλόν τοι κτλ. ἀκούσαντες δὲ ἠγνόουν. ἡ δὲ φανερώτερον ἔφη· Σατύριον κτλ.*

a) 3: *φράζου σύ* Dind. || *Σατυρίου* Dind. ||

b) etiam Strabo servavit VI p. 279. v. 7: *δῶκα* Strab. cf. Müll. histor. gr. fr. I p. 184.

v. 2: *οὐδ᾽ εἰ παγχάλκεος εὔχεται εἶναι* Il. XX 102. || 3: *ἀγλαὸν ὕδωρ* Il. II 307 saep. || 4: *ἁλμυρὸν ὕδωρ* Od. XII 236 saep. || 8: *πῆμα γενέσθαι Τρωσί* Il. XXII 421. ||

71) Diod. VIII 23, 1: *ὅτι Ἀντίφημος καὶ Ἔντιμος οἱ Γέλαν κτίσαντες ἠρώτησαν τὴν Πυθίαν καὶ ἔχρησε ταῦτα· Ἔντιμ᾽ κτλ.* cf. Her. VII 153. Paus. VIII 46. schol. Pind. ol. II 16. Steph. Byz. *Γέλα.* Athen. VII 51. Etym. M. p. 225.

2: *πίονα* ex coni. addidi. *Σικελὴν καλὴν χθόνα* Cobetus in nov. lect. p. 484. || 4: *ἐν προχοῇς ποταμοῦ* Od. XI 242.

72.

Ἠετίων, οὔτις σε τίει πολύτιτον ἐόντα.
Λάβδα κύει, τέξει δ' ὀλοοίτροχον· ἐν δὲ πεσεῖται
ἀνδράσι μουνάρχοισι, δικαιώσει δὲ Κόρινθον.

73.

Αἰετὸς ἐν πέτρῃσι κύει, τέξει δὲ λέοντα
καρτερὸν ὠμηστήν· πολλῶν δ' ὑπὸ γούνατα λύσει.
ταῦτά νυν εὖ φράζεσθε Κορίνθιοι, οἳ περὶ καλὴν
Πειρήνην οἰκεῖτε καὶ ὀφρυόεντα Κόρινθον.

74.

Ὄλβιος οὗτος ἀνήρ, ὃς ἐμὸν δόμον ἐσκαταβαίνει,
Κύψελος Ἠετίδης, βασιλεὺς κλειτοῖο Κορίνθου,
αὐτὸς καὶ παῖδες, παίδων γε μὲν οὐκέτι παῖδες.

---

72) Her. V 92: ἐστάλη ἐς Δελφοὺς περὶ γόνου, ἐσιόντα δὲ αὐτὸν [τὸν Ἠτίωνα] ἡ Πυθίη προσαγορεύει τοισίδε τοῖσι ἔπεσι· Ἠετίων κτλ.

adde anth. Pal. XIV 86. vv. 1—2 ὀλοοίτροχον: Eus. pr. ev. V 29.

v. 2: τέξει δὲ ὀλοίτροχον anth.

73) Her. V 92: . τοῖσι Βακχιάδῃσι ἐγένετο · · χρηστήριον . . λέγον ὧδε· Αἰετὸς κτλ.

v. 2: ὠμηστής Il. XI 454. || πολλῶν δ' ὑπὸ γούνατα λύσει formula Homer. cf. Il. IV 176. IX 578. || 4: ὀφρυόεσσα Ἴλιος Il. XXII 411. ||

cf. de hoc oraculo Schubringii dissertationem Gotting. „de Cypselo“ 1862. p. 32 sq.

74) Her. V 92: ἀνδρωθέντι καὶ μαντευομένῳ Κυψέλῳ ἐγένετο χρηστήριον ἐν Δελφοῖσι, τῷ πίσυνος . . . ἔσχε Κόρινθον. ὁ δὲ χρησμὸς ὅδε ἦν· Ὄλβ. κτλ.

adde anth. Pal. XIV 88. Usque ad verba αὐτὸς καὶ παῖδες apud Dio. Chrys. XXXVII p. 103. vv. 1—2 Euseb. pr. ev. V 35. Apostol. XII 65d. cf. Arsen. XXXIX 18.

v. 1: εἰςαφικάνει Dio. || 2: κλεινοῖο anth. Pal. Euseb. || Αἰακίδης Euseb. || ad v. 3 apud Suid. s. v. Ἄτταλος. ||

75.

Ὄλβιοι οἳ κείνην πόλιν ἀνέρες οἰκήσουσιν
ἀκτῆς Θρηικίης στενυγρὸν παρ' ἄκρον στόμα πόντου·
ἔνθα δύο σκύλακες πολιὴν λάπτουσι θάλασσαν,
ἔνθ' ἰχθὺς ἔλαφός τε νομὸν βόσκουσι τὸν αὐτόν·
στέλλειν δ' ὡς ὤκιστα καὶ εἰς φρένα πάντα λαβόντα.

76.

Σμῆνα μελισσάων τάχα τοι καὶ σφῆκες ἔσονται.

77.

a) Βαῖν' ἀπ' ἐμῶν τριπόδων· ἔτι τοι φόνος ἀμφὶ χέρεσσι
πουλὺς ἀποστάζων ἀπὸ λαΐνου οὐδοῦ ἐρύκει.
οὔ σε θεμιστεύσω· Μουσῶν θεράποντα κατέκτας
Ἥρης πρὸς βωμοῖσι θεῶν τίσιν οὐκ ἀλεείνας.
τοῖς δὲ κακῶς ῥέξασι δίκης τέλος οὐχὶ χρονιστὸν

---

75) Steph. Byz. Βυζάντιον τό ἐν Θράκῃ βασίλειον . . . χρησμὸς δ' ἐδόθη ἐρωτησάντων εἰς Δελφοὺς Μεγαρέων τοιοῦτος· Ὄλβιοι κτλ.

- adde Hesych. Miles. orig. Const. I [v. 1. 2. 4. 5]. Eustath. ad. Dion. 803 [1. 2. 4]. Codinus. Chron. Constantin [1—4].

cf. O. Müller. Dor. I p. 120. Müller hist. fr. IV p. 147. Müller geogr. min. II p. 27.

v. 1: οἳ κείνην ἱερὴν πόλιν οἰκ. Hesych. ‖ 2: ὑγρόν Steph. Eustath. τ' ἔνυγρον Hesych. στενυγρόν Lobeck. Aglaoph. II 853. Meinek. et Müllerus apud Steph. Byz. ‖ ἀκτὴν Θρηικίην παρά τε στόμα πόντου Hesych. ‖ 3: διερὴν μάρπτουσι θάλασσαν chron. Const. ‖ 4: βόσκονται ἐς αὐτόν Hesych. Codin. Const. ‖ cf. Wolff de noviss. orac. aet. p. 3.

76) Plut. de amic. mult. VII: ὥσπερ οὖν ὁ τῷ Τιμησίᾳ περὶ τῆς ἀποικίας δοθεὶς χρησμὸς προηγόρευσε· Σμῆνα κτλ.

77 a) Ael. var. hist. III 43: ἐν Συβάρει κιθαρῳδοῦ ᾄδοντος . . στασιασάντων ὑπὲρ αὐτοῦ τῶν Συβαριτῶν . . . φοβηθεὶς ὁ κιθαρῳδὸς κατέφυγεν εἰς τὸν τῆς Ἥρας βωμόν. οἱ δὲ οὐδὲ ἐνταῦθα ἐφείσαντο τοῦ κιθαρῳδοῦ. ὀλίγῳ δὲ ὕστερον ἐδόκει αἷμα ἀναβρύειν · · Συβαρῖται δὲ ἔπεμψαν ἐς Δελφούς. ἡ δὲ Πυθία ἀπεκρίνατο· Βαῖν' κτλ.

οὐδὲ παραιτητὸν, οὐδ' εἰ Διὸς ἔγγονοι εἶεν,
ἀλλ' αὐτῶν κεφάλῃσι καὶ ἐν σφετέροισι τέκεσσιν
εἵλεῖται καὶ πῆμα δόμοις ἐπὶ πήματι βαίνει.

b) *Μουσάων θεράποντα κατέκτας· ἔξιθι νηοῦ.*

78.

Βάττ' ἐπὶ φωνὴν ἦλθες· ἄναξ δέ σε Φοῖβος Ἀπόλλων
ἐς Λιβύην πέμπει μηλοτρόφον οἰκιστῆρα.

79.

Βάττ' ἐπὶ φωνὴν ἦλθες· ἄναξ δέ σε Φοῖβος Ἀπόλλων
ἐς Λιβύην πέμπει καλλιστέφανον Κυρήνης
εὐρείης ἄρχειν καὶ ἔχειν βασιληίδα τιμήν.
ἔνθα σε βάρβαροι ἄνδρες ἐπὰν Λιβύης ἐπιβήῃς
βαιτοφόροι ἐπίασι· σὺ δ' εὐχόμενος Κρονίωνι
Παλλάδι τ' ἐγρεμάχῃ γλαυκώπιδι καὶ Διὸς υἱῷ

2: *λάινος οὐδός* de oraculo Delphico Od. VIII 80: *Πυθοῖ ἐν ἠγαθέῃ ὅθ' ὑπέρβη λάινον οὐδόν χρησόμενος* . . . .
Il. IX 704:
οὐδ' ὅσα λάινος οὐδὸς ἀφήτορος ἐντὸς ἐέργει . .
3: *Μουσάων θεράποντες ἀοιδοί* hymn. XXXII 20. ||
b) Galen. Protrept. X.
Heracl. Pont. VIII [Müll. hist. fr. II p. 214]: *Ἀρχίλοχον τὸν ποιητὴν Κόραξ ἔκτεινε πρὸς ὅν φασιν εἰπεῖν τὴν Πυθίαν „ἔξιθι νηοῦ."*
cf. Aristid. II p. 297. Dio. Chrys. XXXIII p. 396. Suid. s. v. *Ἀρχίλοχος*. Ael. fr. 255. [Herch.] Origen. contra Cels. III 25: *ἀλλὰ καὶ Μουσῶν θεράποντα εἰπὼν τὸν Ἀρχίλοχον κτλ.*
78) Herod. IV 155. Schol. Pind. Pyth. IV 15. Anth. Pal. XIV 83. cf. Tzetz. chil. VI 349. Syncell. p. 212 A [vol. I. p. 406 Dind.]. cf. praef. p. 16.
2: ad vocem *μηλοτρόφον Λιβύην* cf. Od. IV 85—86:
. . *καὶ Λιβύην ἵνα τ' ἄρνες ἄφαρ κεραοὶ τελέθουσιν·*
τρὶς γὰρ τίκτει μῆλα τελεσφόρον εἰς ἐνιαυτόν. ||
79) Diod. VIII 29, 1. in v. 5: *βαιτοφόροι* e coniectura Dindorfii pro codicum *βαττοφόροι.* ||

Φοίβῳ ἀκερσεκόμῃ νίκην ὑποχείριον ἕξεις
καὶ μάκαρος Λιβύης καλλιστεφάνου βασιλεύσεις
αὐτὸς καὶ γένος ὑμόν· ἄγει δέ σε Φοῖβος Ἀπόλλων.

80.

Αἰ τὺ ἐμεῦ Λιβύην μηλοτρόφον οἶδας ἄμεινον,
μὴ ἐλθὼν ἐλθόντος ἄγαν ἄγαμαι σοφίην σευ.

81.

Ὃς δέ κεν ἐς Λιβύην πολυήρατον ὕστερον ἔλθῃ
γᾶς ἀναδαιομένας, μετά οἵ ποκά φαμι μελήσειν.

82.

Βάττε, τὸ πρόσθε κακὸν τὸ δὲ δεύτερον ἐσθλὸν ἐρευνᾷς·
ἔρχεο, λεῖφ' ἁλίαν χώραν· ἤπειρος ἀμείνων.
ἡῷος πρότερον δόμον ἔκβαλε, πείθεο μύθῳ.

---

v. 6: *Παλλάς τ' ἐγρεμάχη* hymn. Dem. 424. ‖ 7: *Φοῖβος ἀκερσεκόμης* Il. XX 39. ‖

80) Her. IV 157: . . *ἀπέπλωον εἰς Δελφοὺς ἀπικόμενοι δὲ ἐπὶ τὸ χρηστήριον ἐχρέοντο, φάμενοι οἰκέειν τε τὴν Λιβύην καὶ οὐδὲν ἄμεινον πρήσσειν οἰκέοντες. ἡ δὲ Πυθίη σφι πρὸς ταῦτα χρᾷ τάδε· Αἰ κτλ.*

adde Plut. de Pyth. or. XXVII p. 408. Anth. Pal. XIV 84. cf. praef. p. 16.

v. 1: *Λιβύαν μαλοτρόφον οἶσθας ἄρειον* Plut. ‖

81) Her. IV 159: *Ἕλληνας πάντας ὥρμησε χρήσασα ἡ Πυθίη πλώειν συνοικήσοντας Κυρηναίοισι Λιβύην· ἐπεκαλέοντο γὰρ οἱ Κυρηναῖοι ἐπὶ γῆς ἀναδασμῷ. ἔχρησε δὲ ὧδε ἔχοντα· Ὃς κτλ.*

adde anth. Pal. XIV 85. v. 2: *φημι* anth. Pal.

82) Schol. Pind. Pyth. IV 10: *ἀποδημήσας εἰς Δελφοὺς Βάττος ἠρώτα περὶ τῆς στάσεως πότερον διαγωνίσονται περὶ τῆς ἐς τὴν πατρίδα ἐπαναστροφῆς ἢ ἑτέρωσέ ποι ἀποικίαν στείλωνται. τὸν δὲ θεὸν χρῆσαι· Βάττε κτλ.*

cf. Tzetz. ad Lyc. 886. Müll. hist. fr. IV p. 449.

vv. 3 et 4 corrupti sunt. Priorem ex coniectura Heynii

στέρξον γῆν ὁσίως ἣν μισεῖς δὴν ἀθεμίστως·
οἷά τ' ἀνὴρ ἔρξει τοῖον τέλος αὐτὸν ἱκάνει.

83.

Εὐδαίμων Συβαρῖτα πανευδαίμων σὺ μὲν αἰεὶ
ἐν θαλίῃσιν ἔσῃ τιμῶν γένος αἰὲν ἐόντων·
εὖτ' ἂν δὲ πρότερον θνητὸν θεοῦ ἄνδρα σεβίσσῃς
τηνίκα σοι πόλεμός τε καὶ ἔμφυλος στάσις ἥξει.

84.

Ἀρκαδίην μ' αἰτεῖς; μέγα μ' αἰτεῖς, οὔ τοι δώσω.
πολλοὶ ἐν Ἀρκαδίῃ βαλανηφάγοι ἄνδρες ἔασιν
οἵ σ' ἀποκωλύσουσιν· ἐγὼ δέ τοι οὔτι μεγαίρω.

---

dedi, cum *δόμον* pro *δόλον* et *πείθεο μύθῳ* scriberem pro *πείθεο πείθων;* quartum recte ni fallor restituit Car. Odofr. Müller Orchom. p. 338. [*στέρρον* et *μισει πολλην* libri]. Idem versum tertium sic scribere vult:

ἥρως πρότερον δόλον [= *δόλωνα*] *ἔκβαλ'. ἐμοὶ δὲ πεποιθώς* ||

83) Athen. XII 520 a: *ἔπεμψαν δέ ποτε* [*οἱ Συβαρῖται*] *καὶ εἰς θεοῦ τοὺς χρησομένους, ὧν ἦν εἷς Ἄμυρις, πυνθανόμενοι μέχρι τίνος εὐδαιμονήσουσι. καὶ ἡ Πυθία ἔφη· Εὐδαίμων κτλ.*

adde Steph. Byz. s. v. *Σύβαρις*. cf. Suid. *κατέγραφον* et *Ἄμυρις*. Apostol. II 60. Arsen. III 53. Greg. Cypr. L. II 27. Ael. fr. 370 [Herch.]. Müll. hist. fr. I p. 206.

v. 1: *εὔδαιμον* et *πανευδαιμον* libri: *εὐδαίμων* et *πανευδαίμων* Meinek. || 2: *θεῶν* pro *ἔσῃ* Steph. Byz. || 3: *δή* Athen. Steph. quod Dindorfius et Meinek. servaverunt. *δέ* Schweighäuserus. || *σεβίζῃ* Steph. Byz. ||

2: *θεοὶ αἰὲν ἐόντες* Il. I 290. XXI 518. || 4: *ἔμφυλος ἀνής* Od. XV 278. *ἔμφυλος στάσις* Herod. VIII 3. ||

84) Her. I 66: . . *οἱ Σπαρτιῆται ἐχρηστηριάζοντο ἐν Δελφοῖσι ἐπὶ πάσῃ τῇ Ἀρκάδων χώρῃ. ἡ δὲ Πυθίη σφι χρᾷ τάδε· Ἀρκαδίην κτλ.*

δώσω τοι Τεγέην ποσσίκροτον ὀρχήσασθαι
καὶ καλὸν πεδίον σχοίνῳ διαμετρήσασθαι:

85.

Ἔστι τις Ἀρκαδίης Τεγέη λευρῷ ἐνὶ χώρῳ,
ἔνθ' ἄνεμοι πνείουσι δύω κρατερῆς ὑπ' ἀνάγκης
καὶ τύπος ἀντίτυπος καὶ πῆμ' ἐπὶ πήματι κεῖται.
ἔνθ' Ἀγαμεμνονίδην κατέχει φυσίζοος αἶα,
τὸν σὺ κομισσάμενος Τεγέης ἐπιτάῤῥοθος ἔσσῃ.

---

adde Diod. IX 36, 2: Schol. Aristid. p. 213 Fr. [561 Dind.] Anth. Pal. XIV 76.

vv. 1—4: Steph. Byz. s. v. *Τεγέα.* — v. 1: Dio Chrys. XVII 469 R. Tzetz. ad Lyc. 478. 482. — v. 2: Schol. Aesch. Prom. 450. — vv. 2—3: Paus. VIII 1, 6. — v. 4: Polyaen. I 8.

cf. Müll. hist. fr. IV p. 439. Eust. ad Il. 301. Alexand. *περὶ σχημάτων* p. 446.

Prima verba *Ἀρκαδίην μ' αἰτεῖς* in proverbii usum venisse *ἐπὶ τῶν μεγάλα ἢ ἀσύμφορα αἰτούντων* Arsenius s. v. *Ἀρκαδίην* tradidit.

v. 1: *Ἀρκαδίαν* et in 2 *Ἀρκαδίᾳ* et in 4 *Τεγέαν* Diod. ‖ v. 3: *οἵ γ'* schol. Arist. ‖ 4: *σοι* Diod. ‖

85) Her. I 67: . . *ἔπεμπον οἱ Σπαρτιῆται ἐς θεὸν ἐπειρησομένους τὸν χῶρον ἐν τῷ κέοιτο ὁ Ὀρέστης. εἰρωτέουσι δὲ ταῦτα τοῖς θεοπρόποισι λέγει ἡ Πυθία τάδε· Ἔστι κτλ.*

adde Diod. IX 36, 3. Steph. Byz. s. v. *Τεγέα.* Schol. Aristid. p. 214 Fr. [561 Dind.] Anth. Pal. XIV 78. v. 3: Bekkeri anecd. p. 408. cf. Müller hist. fr. IV p. 439. Alludit Suidas s. v. *ἀντιτυπῆσαι: „καὶ τύπος ἀντίτυπος" φησὶν ὁ χρησμός.* cf. Paus. III 11, 8. Aeneas Gaz. p. 67. 68. [ed. Boissonade].

v. 1: *Ἀρκαδίας Τεγέης* Diod. cod. *Ἀρκαδίης γαίης* schol. Arist. ‖ 2: *δύο* Steph. Byz. schol. Arist. ‖ v. 1: *ἔστι τις* form. ep. ‖ *λευρῷ ἐνὶ χώρῳ* Od. VII 123. ‖ 4: *Ἀγαμεμνονίδης* Od. I 30. ‖ *κατέχεν φυσίζοος αἶα* Il. III 243. Od. XI 301. ‖ *ἐπιτάῤῥοθος* vocab. epic. ‖

86.

Οἰταῖόν τινά φημι Μύσων' ἐν Χηνὶ γενέσθαι
σοῦ μᾶλλον πραπίδεσσιν ἀρηρότα πευκαλίμῃσιν.

87.

Οὐ πρὶν τῆσδε πόληος ἐρείψετε πύργον ἑλόντες
πρίν κεν ἐμῷ τεμένει κυανώπιδος Ἀμφιτρίτης
κῦμα ποτικλύζῃ κελαδοῦν ἐπὶ οἴνοπα πόντον.

88.

Ἔκγονε Μιλήτου, τρίποδος πέρι Φοῖβον ἐρωτᾷς·
ὃς σοφίῃ πάντων πρῶτος, τούτου τρίποδ' αὐδῶ.

---

86) Diod. IX 5, 2: *ὅτι φασὶν Ἀνάχαρσιν τὸν Σκύθην φρονοῦντα ἐπὶ σοφίᾳ μέγα παραγενέσθαι Πυθῶδε καὶ ἐπερωτῆσαι τίς ἐστιν αὐτοῦ σοφώτερος. καὶ εἰπεῖν· Οἰταῖον κτλ. ὅστις ἦν Μαλιεὺς καὶ ᾤκει τὴν Οἴτην εἰς κώμην Χηνὰς καλουμένην.* adde Laert. Diog. I 1, 30. I 9, 36.

1: *ἐν Χηνὶ γενέσθαι* om. Diod. ‖ *φασι* Diod. ‖ 2: *φρεσὶν ᾗσιν ἀρηρώς* Od. X 553. ‖ *φρεσὶ πευκαλίμῃσι* Il. VIII 366 saep. ‖ *ἰδυίῃσι πραπίδεσσι* Od. VII 92 saep. ‖

87) Paus. X 37, 6: *πολεμεῖν πρὸς τοὺς Κιρραίους ἔδοξεν Ἀμφικτυόσι, καὶ Κλεισθένην τε Σικυωνίων τυραννοῦντα προεστήσαντο ἡγεμόνα εἶναι καὶ Σόλωνα ἐξ Ἀθηνῶν ἐπηγάγοντο συμβουλεύειν. χρωμένοις δέ σφισιν ὑπὲρ νίκης ἀνεῖπεν ἡ Πυθία· Οὐ πρὶν κτλ.*

Adde Diod. IX 16. Suid. s. v. *Σόλων*. cf. Plut. Sol. XI. Polyaen III 5. Aesch. Ctes. 112.

v. 3: *ποτικλύζοι* Suid. ‖ *κελαδοῦν ἱεραῖσιν ἐπ' ἀκταῖς* Diod. ‖ [*ἱερῇσιν* Dindorf].

ad v. 2 et 3 cf. Od. XII 60: . . *προτὶ δ' αὐτὰς κῦμα μέγα ῥοχθεῖ κυανώπιδος Ἀμφιτρίτης.* ‖ Il. XXIII 61: *κύματα κλύζεσκον.* ‖ Od. II 421: . . *κελάδοντ' ἐπὶ οἴνοπα πόντον.* ‖

88) Schol. Aristoph. Plut. 9: . . *ἁλιεῖς ἐν Μιλήτῳ τινὲς μισθῷ βόλον ἔρριπτον . . . συμβέβηκε γοῦν ἀντὶ ἰχθύων τρίποδα χρυσοῦν περιλαβεῖν αὐτοὺς τῷ δικτύῳ . . . . φιλονικούντων αὐτῶν ἔδοξεν ἐρωτῆσαι τὸν Ἀπόλλωνα. ὁ δὲ*

89.

Οὔποτε μὴ λήξῃ πόλεμος Μερόπων καὶ Ἰώνων
πρὶν τρίποδα χρύσειον, ὃν Ἥφαιστος κάμε τεύχων,
ἐκ μέσσου πέμψητε καὶ ἐς δόμον ἀνδρὸς ἵκηται
ὃς σοφίῃ τά τ' ἐόντα τά τ' ἐσσόμενα προδέδορκεν.

90.

Ἧσο μέσην κατὰ νῆα κυβερνητήριον ἔργον
εὐθύνων· πολλοί τοι Ἀθηναίων ἐπίκουροι.

91.

Ἀρχηγοὺς χώρας θυσίαις ἥρωας ἐνοίκους
ἵλασο, τοὺς κόλποις Ἀσωπιὰς ἀμφικαλύπτει,
οἳ φθίμενοι δέρκονται ἐς ἠέλιον δύνοντα.

νεῖλεν αὐτοῖς ταῦτα· Ἔκγονε κτλ. adde Laert. Diog. I 1, 28. iod. IX 3, 1. Apostol. VI 93 b. Arsen. XXII 85. cf. Plut. Sol. IV. üller histor. fr. II p. 335.

v. 2: τίς σοφ. Diod. Apostol. ‖ τὶς σοφ. Laert. Diog. ‖ φίᾳ Diod. Apostol. ‖ σοφίᾳ πρῶτος πάντων Diod. ‖ τούτου ud Diodorum pro τούτῳ Dindorfius. ‖

89) Diod. IX 3, 2: οἱ δέ φασιν ἄλλως ὅτι πολέμου γεμένου τοῖς Ἴωσι πρὸς ἀλλήλους καὶ τοῦ τρίποδος παρὰ γηνέων ἀνενεχθέντος ἐπερωτῆσαι τὸν θεὸν περὶ τῆς καταύσεως τοῦ πολέμου. ἡ δὲ ἔφη· Οὔποτε κτλ.

adde Laert. Diog. I 1, 33.

1: μὴ πρότερον λήξειν νεῖκος Diod. ‖ 2: βάλε πόντῳ ο κάμε τεύχων Laert. Diog. ‖ 3: ἐκ πόλιος Diog. ‖ 4: ὃς δάηκε τά τ' ὄντα τά τ' ἐσσόμενα πρό τ' ἐόντα Diog. ‖

v. 2: τὸ μὲν Ἥφαιστος κάμε τεύχων Il. II 101 saep. ‖ ὃς τ' ᾔδη τά τ' ἐόντα τά τ' ἐσσόμενα πρό τ' ἐόντα I 70. cf. Hes. theog. 32. ‖

90) Plut. Sol. XIV: ἔνιοι δέ φασι καὶ μαντείαν γενέσθαι ; Σόλωνι τοιαύτην· Ἧσο κτλ.

v. 1: κυβερνητήριος ἅπ. εἰρ. ‖

91) Plut. Sol. IX: Ἄλλοι δέ φασιν οὐ τοῦτον τὸν τρόπον νέσθαι τὴν κατάληψιν, ἀλλὰ πρῶτον μὲν αὐτῷ τὸν ἐν λφοῖς θεὸν χρῆσαι· Ἀρχ. κτλ.

in v. 2: κόλποις Schaeferus pro vulgato κόλπος. ‖

92.

Εὔδαιμον πτολίεθρον ἑνὸς κήρυκος ἀκούειν.

93.

Γλαῦκ' Ἐπικυδείδη, τὸ μὲν αὐτίκα κέρδιον οὕτως
ὅρκῳ νικῆσαι καὶ χρήματα ληίσσασθαι.
ὄμνυ ἐπεὶ θάνατός γε καὶ εὔορκον μένει ἄνδρα.
ἀλλ' ὅρκου πάϊς ἐστὶν ἀνώνυμος, οὐδ' ἔπι χεῖρες
οὐδὲ πόδες· κραιπνὸς δὲ μετέρχεται εἰσόκε πᾶσαν
συμμάρψας ὀλέσει γενεὴν καὶ οἶκον ἅπαντα.
ἀνδρὸς δ' εὐόρκου γενεὴ μετόπισθεν ἀμείνων.

94.

Οἶδα δ' ἐγὼ ψάμμου τ' ἀριθμὸν καὶ μέτρα θαλάσσης
καὶ κωφοῦ συνίημι καὶ οὐ φωνεῦντος ἀκούω.
ὀδμή μ' ἐς φρένας ἦλθε κραταιρινοῖο χελώνης

---

92) Plut. sept. sap. conv. VII: *τίς ἄν, ἔφη ὁ Αἴσωπος, σοὶ τοῦτο πεισθείη ἢ τῷ θεῷ φράσαντι κατὰ τὸν πρὸς σὲ χρησμόν· Εὔδαιμον κτλ. καὶ ὁ Σόλων· Ἀλλὰ μήν, ἔφη, καὶ νῦν Ἀθηναῖοι ἑνὸς κήρυκος ἀκροῶνται καὶ ἄρχοντος τοῦ νόμου.*

93) Her. VII 86, 3: . . *Γλαῦκος δὲ ἐπορεύετο εἰς Δελφοὺς . . ἡ Πυθίη μετέρχεται [αὐτὸν] τοισίδε ἔπεσι· Γλαῦκ' κτλ.* cf. p. 1—3.

adde anth. Pal. XIV 91. Clem. Al. VI 2, 23. Dio Chrys. LXXIV p. 400. Eust. Il. p. 414. Stob. flor. XXVII 14. Apostol. II 84 d. Arsen. XLII 61. Plat. pol. 364 D. Schol. Plat. 398. Paus. VIII 7, 8. Schol. Juv. sat. XIII 199.

94) Her. I 47: *ἡ Πυθίη ἐν ἑξαμέτρῳ τόνῳ λέγει τάδε· Οἶδα κτλ.* adde Suid. s. v. *Κροῖσος*. vv. 1—2: Porphyr. vit. Plotin. XXII. ceterum cf. locos a Steinio ad Herodotum citatos praeterque eos: Eus. pr. ev. V 34. 21. Cedren. p. 137 B [I p. 240 Bekk.]. Malal. p. 197 [155 Dind.]. Xen. Cyr. VII 2, 18. Aeneas Gaz. p. 47 [ed. Boissonade].

in v. 2: *λαλέοντος* Suid. Porphyr. *μὴ λαλέοντος* Eus. ‖ 4: *κρέασι* Suid. ‖ 5: *ὑπέρκειται, χαλκὸς δ' ὑπόκειται* Suid. ‖

ἑψομένης ἐν χαλκῷ ἅμ' ἀρνείοισι κρέεσσιν
ᾗ χαλκὸς μὲν ὑπέστρωται, χαλκὸν δ' ἐπιέσται.

95.

Σαυτὸν γιγνώσκων εὐδαίμων Κροῖσε περάσεις.

96.

Κροῖσος Ἅλυν διαβὰς μεγάλην ἀρχὴν καταλύσει.

97.

Ἀλλ' ὅταν ἡμίονος βασιλεὺς Μήδοισι γένηται,
καὶ τότε, Λυδὲ ποδαβρέ, πολυψήφιδα παρ' Ἕρμον
φεύγειν μηδὲ μένειν μηδ' αἰδεῖσθαι κακὸς εἶναι.

98.

Λυδὲ γένος, πολλῶν βασιλεῦ, μέγα νήπιε Κροῖσε,
μὴ βούλου πολύευκτον ἰὴν ἀνὰ δώματ' ἀκούειν

---

v. 1: μέτρα πολυφλοίσβοιο θαλάσσης Hes. op. 648. ‖ 4: λιθορρινοῖο χελώνης h. Merc. 48. ‖

95) Xen. Cyr. VII 2, 20: ἐπερωτῶ [Κροῖσος] τὸν θεὸν τί ἂν ποιῶν τὸν λοιπὸν βίον εὐδαιμονέστατα διατελέσαιμι· ὁ δέ μοι ἀπεκρίνατο· Σαυτὸν κτλ.

96) Aristot. rhet. III 5. Schol. Soph. Trach. 1. Diod. IX 31, 1. Suidas s. v. Κροῖσος. Eus. pr. ev. V 20. Theodor. gr. aff. cur. p. 139, 50. Cedren. p. 143 A [I 251 Bekk.]. Malala p. 198 [155 Dind.].

cf. Cic. de divin. II 56, 15: „Croesus Halyn penetrans magnam praevertet opum vim."

97) Her. I 55: ἐπειρώτα . . εἴ οἱ πολυχρόνιος ἔσται ἡ μουναρχίη. ἡ δὲ Πυθίη οἱ χρᾷ τάδε· Ἀλλ' κτλ.

adde Diod. IX 31, 2. Dio Chrys. XIII 421 R. Tzetz. ad Hes. op. 45. Anth. Pal. XIV 112. v. 3: Eus. pr. ev. V 24. cf. Plat. rep. VIII p. 566. Eus. pr. ev. V 21.

in v. 2: δὴ τότε Porson. adv. p. 276. Krügerus Abichtius. ‖ 3: κακόν Euseb. κακός falso Dindorfius.

98) Her. I 85: ἦν . . τῷ Κροίσῳ παῖς . . ἄφωνος . . . καὶ ἐς Δελφοὺς περὶ αὐτοῦ ἐπεπόμφεε χρησομένους. ἡ δὲ Πυθίη οἱ εἶπε τάδε· Λυδὲ κτλ.

παιδὸς φθεγγομένου· τὸ δέ σοι πολὺ λώιον ἀμφὶς
ἔμμεναι· αὐδήσει γὰρ ἐν ἤματι πρῶτον ἀνόλβῳ.

99.

Τὸν πύρρόν τοί φημι, τὸν Ἀρχεδίκη τέκε παῖδα.

100.

Ἔρριπται δ' ὁ βόλος, τὸ δὲ δίκτυον ἐκπεπέτασται,
θύννοι δ' οἰμήσουσι σεληναίης διὰ νυκτός.

101.

Ἀλλ' ὅταν ἐν Σίφνῳ πρυτανήια λευκὰ γένηται
λεύκοφρύς τ' ἀγορή, τότε δὴ δεῖ φράδμονος ἀνδρὸς
φράσσασθαι ξύλινόν τε λόχον κηρυκά τ' ἐρυθρόν.

102.

Μέτρῳ ὕδωρ πίνοντες, ἀμετρὶ δὲ μᾶζαν ἔδοντες.

---

adde Diod. IX 31, 2. Anth. Pal. XIV 79. in v. 2: βούλου codd. Steinius. βούλευ ceteri edit. ‖ κατὰ δώματ' Diod. ‖ v. 1: μέγα νήπιε Πέρση Hes. op. 632 saep. ‖

99) Plut de frat. am. XXVI: Ἀλεύαν δὲ τὸν Θεσσαλὸν ὁ μὲν πατὴρ . . . ἐκόλουε . . ὁ δὲ θεῖος . . προσήγετο. πεμπόντων δὲ τῶν Θεσσαλῶν φρυκτοὺς περὶ βασιλέως . . εἰς Δελφούς, ἐνέβαλε κρύφα τοῦ πατρὸς ὁ θεῖος ὑπὲρ τοῦ Ἀλεύα· καὶ τῆς Πυθίας τοῦτον ἀνελούσης . . . . πᾶσιν ἐδόκει πλάνη τις . . γεγονέναι . . . ἡ δὲ Πυθία καθάπερ ἐκβεβαιουμένη τὴν προτέραν ἀναγόρευσιν εἶπε· Τὸν κτλ.

100) Her. I 62: . . . θείῃ πομπῇ χρεόμενος παρίσταται Πεισιστράτῳ Ἀμφίλυτος ὁ Ἀκαρνὰν χρησμολόγος ἀνήρ, ὅς οἱ προσιὼν χρᾷ ἐν ἑξαμέτρῳ τόνῳ τάδε λέγων· Ἔρριπται κτλ.

101) Her. III 57: οἱ Σίφνιοι ἐχρεόντο τῷ χρηστηρίῳ εἰ αὐτοῖσι τὰ παρεόντα ἀγαθὰ οἷά τε ἐστι πολλὸν χρόνον παραμένειν. ἡ δὲ Πυθίη ἔχρησέ σφι τάδε· Ἀλλ' κτλ. adde anth. Pal. XIV 82.

102) Suidas [Photius] et Zenobius V 19: οὗτος ὁ στίχος εἰς παροιμίαν περιέστη ἔκ τινος χρησμοῦ ὃν ἀνεῖλεν ὁ θεὸς Συβα-

103.

Ὕστατος ἡρώων Κλεομήδης Ἀστυπαλαιεύς,
ὃν θυσίαις τιμᾶθ' ἅτε μηκέτι θνητὸν ἐόντα.

104.

Καὶ τότε δή, Μίλητε, κακῶν ἐπιμήχανε ἔργων,
πολλοῖσιν δεῖπνόν τε καὶ ἀγλαὰ δῶρα γενήσῃ,
σαὶ δ' ἄλοχοι πολλοῖσι πόδας νίψουσι κομήταις,
νηοῦ δ' ἡμετέρου Διδύμοις ἄλλοισι μελήσει.

105.

Ἀλλ' ὅταν ἡ θήλεια τὸν ἄρσενα νικήσασα
ἐξελάσῃ καὶ κῦδος ἐν Ἀργείοισιν ἄρηται,
πολλὰς Ἀργείων ἀμφιδρυφέας τότε θήσει.

ταις. ὑβρισταὶ γὰρ ὄντες καὶ ἀμετροπόται ἀπώλοντο ὑπὸ ροτωνιατῶν. τοῖς οὖν διαφυγοῦσιν αὐτῶν οὕτως ἐχρήσθη. cf. Zonar. lexic. ἀμετρί.

103) Paus. VI 9, 7: ἀποστέλλουσιν οἱ Ἀστυπαλαιεῖς ἄνιας ἐς Δελφοὺς ἐρησομένους ὁποῖα ἐς Κλεομήδην τὰ συμίντα ἦν. τούτοις χρῆσαι τὴν Πυθίαν φασίν· Ὕστατος κτλ. adde Eus. pr. ev. V 34. Theodor. gr. aff. cur. p. 141, 29. ιcrat. hist. eccl. III 23. — v. 1: Plut. Rom. XXVIII. cf. Origen. c. Cels. III 25: Κλεομήδην τὸν πύκτην ἰσοθέοις μαῖς ἐκέλευε τιμᾶσθαι . . . v. 1: ἔσχατος Plut. || 2: ὡς οὐκέτι Euseb. Theodor. ὡς ικέτι Socrat. || alter versus apud Socratem corruptissimus est. ||

104) Herod. VI 19: τὰ δὲ τοῖσι Μιλησίοισι οὐ παρεοῦσι ρησε [ἡ Πυθίη] ἔχει ὧδε· Καὶ τότε δὴ κτλ. adde anth. Pal. XIV 89. Tzetz. chil. VIII 3. v. 1: καὶ τότε δή Il. I 92 saep. || ἐπιμήχανος ἅπ. εἰρ. || ἀγλαὰ δῶρα Il. XI 124 saep. ||

105) Her. VI 77: Οἱ Ἀργεῖοι τὴν μὲν ἐκ τοῦ φανεροῦ ίχην οὐκ ἐφοβέοντο, ἀλλὰ μὴ δόλῳ αἱρεθέωσι. καὶ γάρ δή οι ἐς τοῦτο τὸ πρῆγμα εἶχε τὸ χρηστήριον, τὸ ἐπίκοινα ρησε ἡ Πυθίη τούτοισί τε καὶ Μιλησίοισι, λέγον ὧδε· λλ' κτλ.

ὥς ποτέ τις ἐρέει καὶ ἐπεσσομένων ἀνθρώπων·
δεινὸς ὄφις τριέλικτος ἀπώλετο δουρὶ δαμασθείς.

106.

Μὴ κίνει Καμερίναν· ἀκίνητος γὰρ ἀμείνων.

107.

Ἐχθρὲ περικτιόνεσσι, φίλ' ἀθανάτοισι θεοῖσι,
εἴσω τὸν προβόλαιον ἔχων πεφυλαγμένος ἧσο,
καὶ κεφαλὴν πεφύλαξο· κάρη δὲ τὸ σῶμα σαώσει.

108.

Φράζεο, βαρβαρόφωνος ὅταν ζυγὸν εἰς ἅλα βάλλῃ
βύβλινον Εὐβοίης ἀπέχειν πολυμηκάδας αἶγας.

109.

Ὑμῖν δ', ὦ Σπάρτης οἰκήτορες εὐρυχόροιο,
ἢ μέγα ἄστυ ἐρικυδὲς ὑπ' ἀνδράσι Περσείδῃσι

---

adde anth. Pal. XIV 90. vv. 1—3 exstant etiam apud Paus. II 20, 10 et Suid. s. v. Τελέσιλλα. cf. Müll. Dor. I p. 173. in v. 5: ἀέλικτος anth. Pal.

v. 2: κῦδος ἀρέσθαι et in v. 4 ὥς ποτέ τις ἐρέει et in 5 δουρὶ δαμασθείς ex Hom. carm. depromta sunt. ‖ ἄλοχος ἀμφιδρυφής Il. II 700. ‖

106) Serv. ad. Verg. Aen. III 701.

107) Her. VII 148: Ἀργεῖοι δὲ λέγουσι . . πυθόμενοι ὡς σφεας οἱ Ἕλληνες πειρήσονται παραλαμβάνοντες ἐπὶ τὸν Πέρσην, πέμψαι θεοπρόπους εἰς Δελφοὺς τὸν θεὸν ἐπειρησομένους· τὴν δὲ Πυθίην ἀνελεῖν τάδε· Ἐχθρὲ κτλ. addo Anth. Pal. XIV 94. vv. 1—2 Eus. pr. ev. VI 7.

3: κάρα anth. Pal. ‖ 2: πεφυλαγμένος εἶναι Il. 23, 343. ‖

108) Her. VIII 20: Βάκιδι γὰρ ὧδε ἔχει περὶ τούτων ὁ χρησμός· Φράζεο κτλ. adde anth. Pal. XIV 97.

1: βαρβαρόφωνον et Her. codd. et anth. Pal. ‖ Καρῶν βαρβαροφώνων Il. II 867. ‖ μηκάδες αἶγες hom. ‖

109) Her. VII 220: ἐκέχρηστο ὑπὸ τῆς Πυθίης τοῖσι Σπαρτιήτῃσι χρεομένοισι περὶ τοῦ πολέμου τούτου αὐτίκα

πέρθεται, ἢ τὸ μὲν οὐκί, ἀφ' Ἡρακλέος δὲ γενέθλης
πενθήσει βασιλῆ φθίμενον Λακεδαίμονος οὖρος.
οὐ γὰρ τὸν ταύρων σχήσει μένος οὐδὲ λεόντων
ἀντιβίην· Ζηνὸς γὰρ ἔχει μένος· οὐδέ ἕ φημι
σχήσεσθαι πρὶν τῶνγ' ἕτερον διὰ πάντα δάσηται.

110.

Ἀλλ' ὅταν Ἀρτέμιδος χρυσαόρου ἱερὸν ἀκτὴν
νηυσὶ γεφυρώσωσι καὶ εἰναλίην Κυνόσουραν,
ἐλπίδι μαινομένῃ λιπαρὰς πέρσαντες Ἀθήνας,
δῖα Δίκη σβέσσει κρατερὸν Κόρον, Ὕβριος υἱόν,
δεινὸν μαιμώοντα δοκεῦντ' ἀν' ἅπαντα πιθέσθαι.

κατ' ἀρχὰς ἐγειρομένου, ἢ Λακεδαίμονα ἀνάστατον γενέσθαι ὑπὸ τῶν βαρβάρων ἢ τὸν βασιλέα σφεων ἀπολέεσθαι. ταῦτα δέ σφι ἐν ἔπεσι ἑξαμέτροισι χρᾷ ἔχοντα ὧδε· Ὑμῖν κτλ.

Anth. Pal. XIV 96. vv. 1—4 Eus. pr. ev. V 25.

1: δ' om. Eus. || 3: πέρσεται Eus. || οὐχί Her. codd. anth. Pal. Eus. || Ἡρακλέους altera pars Her. codd. et anth. Pal. οὐχί et Ἡρακλέους apud Herodotum servavit Steinius, οὐκί et Ἡρακλέος Bekkerus Krügerus Abichtius in textum receperunt. ||

1: εἰς εὐρύχορον Λακεδαίμονα Od. XV 1. || 3: ἠὲ καὶ οὐκί Il. II 238, 300 saepius. || 6: ἀντιβίην vox Homerica. || cf. Il. XVII 502: οὐ γὰρ ἔγωγε
Ἕκτορα Πριαμίδην μενέος σχήσεσθαι ὀίω
πρὶν . . .

7: διὰ παῦρα δασάσκετο Il. IX 333. διὰ κτῆσιν δατέοντο V 158.

110) Her. VIII 77: εἰς τοιαῦτα μὲν καὶ οὕτω ἐναργέως λέγοντι Βάκιδι ἀντιλογίης χρησμῶν πέρι οὔτε αὐτὸς λέγειν τολμέω οὔτε παρ' ἄλλων ἐνδέκομαι. adde anth. Pal. XIV 98.

1: Δημήτερος ἱερὸν ἀκτήν Hes. op. 466. 597. 605. || χρυσάορος Apollinis apud Homerum cognomen est, Cereris in hymn. in Cer. 4, Dianae hoc uno loco. || 3: φρεσὶ μαινομένῃσι Il. XXIV 114. || 4: δῖα Δίκη cf. Hes. op. 256:
ἡ δέ τε παρθένος ἐστὶ Δίκη, Διὸς ἐκγεγαυῖα,
κυδρή τ' αἰδοίη τε θεοῖς οἳ Ὄλυμπον ἔχουσιν. ||

Χαλκὸς γὰρ χαλκῷ συμμίξεται, αἵματι δ' Ἄρης
πόντον φοινίξει. τότ' ἐλεύθερον Ἑλλάδος ἦμαρ
εὐρυόπα Κρονίδης ἐπάγει καὶ πότνια Νίκη.

111.

Ὦ μέλεοι, τί κάθησθε; λιπὼν φεῦγ' ἔσχατα γαίης
δώματα καὶ πόλιος τροχοειδέος ἄκρα κάρηνα,
οὔτε γὰρ ἡ κεφαλὴ μένει ἔμπεδον οὔτε τὸ σῶμα,
οὔτε πόδες νέατοι οὔτ' ὦν χέρες, οὔτε τι μέσσης
λείπεται ἀλλ' ἄζηλα πέλει· κατὰ γάρ μιν ἐρείπει
πῦρ τε καὶ ὀξὺς Ἄρης Συριηγενὲς ἅρμα διώκων.
πολλὰ δὲ κἄλλ' ἀπολεῖ πυργώματα κοὐ τὸ σὸν οἶον·
πολλοὺς δ' ἀθανάτων νηοὺς μαλερῷ πυρὶ δώσει
οἵ που νῦν ἱδρῶτι ῥεούμενοι ἑστήκασι,
δείματι παλλόμενοι, κατὰ δ' ἀκροτάτοις ὀρόφοισι
αἷμα μέλαν κέχυται, προϊδὸν κακότητος ἀνάγκας.
ἀλλ' ἴτον ἐξ ἀδύτοιο, κακοῖς δ' ἐπικίδνατε θυμόν.

5: *μαιμώων* Il. XV 742 saep. || 8: *Ζεὺς ἦμαρ ἐπάγει* Od. XVIII 137. ||

111) Herod. VII 140: *πέμψαντες οἱ Ἀθηναῖοι ἐς Δελφοὺς θεοπρόπους χρηστηριάζεσθαι ἦσαν ἕτοιμοι· καί σφι . . χρᾷ ἡ Πυθία, τῇ οὔνομα ἦν Ἀριστονίκη, τάδε· ὦ μέλεοι κτλ.*

anth. Pal. XIV 92. Apud Eus. in pr. ev. V 24 exstant primus versus et omisso altero tertius et qui sequuntur usque ad verba *δείματι παλλόμενοι* in decimo. Versus octavum nonumque servavit Clem. Alex. strom. V p. 782. *ὦ μέλεοι τί κάθησθε* invenis etiam apud Theodoretum gr. aff. cur. X 28.

Tzetzes chil. IX 809:

τότε λοιπὸν οἱ Ἕλληνες δεινῶς ἐπτοημένοι
καὶ δὴ χρησμῳδοτούμενοι περὶ συμβησομένων
ἐκ χρηστηρίων ἤκουσαν Βάκιδος χρησμολόγου
„ὦ μέλεοι τί κάθησθε; λιπὼν φεῦγ' ἔσχατα γαίης."

1: *πόλιν φύγετ' ἔσχατα* Oenom. ap. Eus. *λιπὼν φύγ' ἐς* Reiske. || 3: *ἔμπεδος* Oen. || 4—5: *οὐ χέρες οὐδὲ πόδες νέατοι· κατὰ γάρ μιν ἐρείψει* Oen. [*ἔρριψε* codd.] || 7: *πολλὰ δὲ τῆδ' ἀπολεῖ πυργώματα καὶ κατερείψει* Oen. || 9: *ῥεεύμενοι* Clem.

112.

Οὐ δύναται Παλλὰς Δί' Ὀλύμπιον ἐξιλάσασθαι
λισσομένη πολλοῖσι λόγοις καὶ μήτιδι πυκνῇ.
σοὶ δὲ τόδ' αὖτις ἔπος ἐρέω ἀδάμαντι πελάσσας.
τῶν ἄλλων γὰρ ἁλισκομένων ὅσα Κέκροπος οὖρος
ἐντὸς ἔχει κευθμών τε Κιθαιρῶνος ζαθέοιο,
τεῖχος Τριτογένει ξύλινον διδοῖ εὐρυόπα Ζεὺς
μοῦνον ἀπόρθητον τελέθειν τὸ σὲ τέκνα τ' ὀνήσει.
μηδὲ σύ γ' ἱπποσύνην τε μένειν καὶ πεζὸν ἰόντα
πολλὸν ἀπ' ἠπείρου στρατὸν ἥσυχος, ἀλλ' ὑποχωρεῖν

2: ἄκρα κάρηνα Il. II 869: Μυκάλης αἰπεινὰ κάρηνα. ‖ μείνει ἔμπεδον Il. V 527. XVI 434. ‖ 4: πόδες νέατοι II 824: ὑπαὶ πόδα νείατον Ἴδης. ‖ 6: ἅρμα διώκειν hymn. m. IX 4. Aeschyl. Pers. 86: Σύριον ἅρμα διώκων. ‖ μαλερῷ πυρί Il. IX 242. XX 316. ‖ 10: δείματι παλλόνοι hymn. Dem. 293. ‖ καταχεῖν τινι Il. XX 282: κὰδ δ' ος οἱ χύτο ὀφθαλμοῖς.

112) Exstat hoc notissimum oraculum Herod. VII 141. ıth. Pal. XIV 93. Eus. pr. ev. V 24. Theodor. gr. aff. r. X 30. — vv. 6—12: Schol. Aristoph. equ. 1040 (omisso no). Suid. s. v. ἀνεῖλεν. — 6—11: Aristid. II p. 279 [Dinrf.] — 6—9: Schol. Aeschyl. Pers. [Dind. p. 420.] Tzetz. ad 'c. 1432. vv. 6. 11. 12 in schol. Aristid. p. 595 Dind. 29 Frommel]. — v. 6: schol. Arist. equ. 886. Olympiodor. Plat. Alcib. I p. 224. Polyaen. I 30, 1 [vv. 6 et 11]. Tzetz. Il. XIII 20 [ed G. Hermann]: v. 6 et 11.

cf. praeterea Clem. Al. strom. V 14 p. 278, qui hoc oralum cum praecedente confudit, et Eust. ad Il. p. 701. Schol. istot. p. 27^{b}. Maxim. Tyr. I 19, 358.

v 6: τεῖχος Ἐρεχθείδαις Tzetz. ad. Il. ‖ 7: τελέειν schol. istoph. ‖ διὰ Παλλάδα κούρην pro τὸ σὲ τέκνα τ' ὀνήσει ıol. Aristoph. ‖ 8: μενέειν pro τε μένειν schol. Aristoph. ‖ ἀναχωρεῖν Aristid. ‖ 10: ἐπιστρέψαις schol. Aristoph. ‖ : ἔτι τοί ποτε κἀντίος ἔσσῃ Herod. Anth. Pal. Euseb. istid. Suid. ‖ 11: θεία Aristid. et schol. ‖ 12: ἢ μὲν δυσονου Ὑπερίονος ἢ δ' ἀνιόντος schol. Aristid. ‖

νῶτον ἐπιστρέψας· ἔτι γάρ τοι κἀντίος ἔσται.
ὦ θείη Σαλαμίς, ἀπολεῖς δὲ σὺ τέκνα γυναικῶν,
ἤ που σκιδναμένης Δημήτερος ἢ συνιούσης.

113.

Ὦ Δελφοὶ λίσσεσθ' ἀνέμους καὶ λώιον ἔσται.

114.

Κωλιάδες δὲ γυναῖκες ἐρετμοῖσι φρύξουσι.

115.

Μή μοι Περσῆος σκύλων περικαλλέα κόσμον
νηῷ ἐγκαταθῇς· οἶκόνδ' ἀπόπεμπε τάχιστα.

---

v. 2: πυκινὰ μήδεα Od. XIX 353 saep. ‖ 5: ζάθεος apud Homerum cognomen est usitatissimum urbium et insulae Cytherae. ‖ 6: Τριτογένει cf. hymn. 28 (29) 4. ‖ εὐρυόπα Ζεὺς form. Hom. ‖ 7: πόλις ἀπόρθητος Il. XII 11. ‖ v. 12 in schol. Aristid. cf. Od. I 24. ‖

113) Clem. Alex. strom. VI 3, 29 p. 753: Δελφοὶ δὲ Ξέρξου ἐπὶ τὴν Ἑλλάδα στρατεύσαντος ἀνειπούσης τῆς Πυθίας Ὦ Δελφοὶ κτλ. βωμοὺς καὶ θυσίαν ποιήσαντες ἀρωγοὺς αὐτοὺς ἔσχον· πνεύσαντες γὰρ ἐρρωμένως περὶ τὴν Σηπιάδα ἄκραν συνέτριψαν πᾶσαν τὴν παρασκευὴν τοῦ Περσικοῦ στόλου.

Eandem rem non adlato versu narrat Herodot. VII 178: . . . οἱ Δελφοὶ ἐχρηστηριάζοντο τῷ θεῷ . . καί σφι ἐχρήσθη ἀνέμοισι εὔχεσθαι· μεγάλους γὰρ τούτους ἔσεσθαι τῇ Ἑλλάδι συμμάχους.

114) Her. VIII 96: τὸ εἰρημένον ἐν χρησμῷ Λυσιστράτῳ Ἀθηναίῳ ἀνδρὶ χρησμολόγῳ· Κωλιάδες κτλ.

Strab. IX 1, 21 p. 398: τὸ τῆς Κωλιάδος Ἀφροδίτης ἱερόν, εἰς ὃν τόπον ἐκκυμανθῆναι τὰ τελευταῖα τὰ ἐκ τῆς περὶ Σαλαμῖνα ναυμαχίας τῆς Περσικῆς ναυάγιά φασι, περὶ ὧν καὶ τὸν Ἀπόλλω προειπεῖν· Κωλ. κτλ.

adde Eust. ad Dion. Per. 591.

φρίξουσι codd. et Her. et Strab. φρύξουσι Joach. Kuhnius. ‖

115) Paus. X 14, 5: λέγεται ὡς Θεμιστοκλῆς ἀφίκοιτο ἐς Δελφοὺς λαφύρων τῶν Μηδικῶν κομίζων τῷ Ἀπόλλωνι·

116.

. . . .
την δ' ἐπὶ Θερμώδοντι καὶ Ἀσωπῷ λεχεποίῃ
Ἑλλήνων σύνοδον καὶ βαρβαρόφωνον ἰϋγήν,
τῇ πολλοὶ πεσέονται ὑπὲρ λάχεσίν τε μόρον τε
τοξοφόρων Μήδων, ὅταν αἴσιμον ἦμαρ ἐπέλθῃ.

117.

Ἔσται σοι κοῦρος, Μνησαρχίδη, ὅντινα πάντες
ἄνθρωποι τίσουσι καὶ ἐς κλέος ἐσθλὸν ὀρούσει
καὶ στεφέων ἱερῶν γλυκερὴν χάριν ἀμφιβαλεῖται.

118.

Οὐράνιόν σε βέλος τι κατακτενεῖ . . .

119.

Ἀρκάδες Ἀζᾶνες βαλανηφάγοι, οἳ Φιγάλειαν
νάσσασθ' ἱππολεχοῦς Δηοῦς κρυπτήριον ἄντρον,
ἥκετε πευσόμενοι λιμοῦ λύσιν ἀλγινόεντος,
μοῦνοι δὶς νομάδες, μοῦνοι πάλιν ἀγριοδαῖται.
Δηὼ μὲν σέ γ' ἔπαυσε μάχης, Δηὼ δ' ἀμήτων

. . . ἡ δὲ Πυθία ἐκέλευεν αὐτὸν τὸ παράπαν ἀποφέρειν ἐκ τοῦ ἱεροῦ. καὶ ἔχει οὕτω τὰ ἐς τοῦτο τοῦ χρησμοῦ· Μή μοι κτλ.

in v. 1: fortasse Πέρσαο σκύλων scribendum pro Περσῆος σκύλων. ||

116) Her. IX 43: ἀλλὰ τὰ μὲν Βάκιδί ἐστι ἐς ταύτην τὴν μάχην πεποιημένα Τὴν δ' ἐπὶ Θερμ. κτλ.

adde anth. Pal. XIV 99.

v. 1: Ἀσωπὸς λεχεποίης Il. IV 383. || 3: πεσέονται Il. XI 824. || ὑπὲρ αἶσαν, ὑπὲρ μόρον form. ep. || 4: αἴσιμον ἦμαρ ἐπέλθῃ form. ep. ||

117) Exstat. Eus. pr. ev. V 33.

118) Exstat in vita Aeschyli [in Westerm. biogr. p. 120] omisso vocabulo τι.

119) Paus. VIII 42, 5: οἱ Φιγαλεῖς οὔτε ἄγαλμα ἀπεδίδοσαν τῇ θεῷ [Δήμητρι] καὶ ὁπόσα ἐς ἑορτὰς καὶ θυσίας . . παρῶπτό σφισιν, ἐς ὃ ἡ ἀκαρπία ἐπιλαμβάνει τὴν γῆν

ἑλκησισταχύων καὶ ἀκανθοφάγον πάλι θῆκε,
νοσφισθεῖσα γέρα προτέρων τιμάς τε παλαίας.
καί σ' ἀλληλοφάγον θήσει τάχα καὶ τεκνοδαίτην,
εἰ μὴ πανδήμοις λοιβαῖς χόλον ἱλάσσεσθε
σήραγγός τε μυχὸν θείαις κοσμήσετε τιμαῖς.

120.

a) *Θειαγένην δ' ἄμνητον ἀφήκατε τὸν μέγαν ὑμέων.*

b) *Εἰς πάτρην φυγάδας κατάγων Δήμητρ' ἀπαμήσεις.*

c) *Ἐν τιμῇ τὸν ἄτιμον ἔχων τότε γῆν ἀναρώσεις.*

121.

Τίπτε νέως κτίσσαι πολύπουν μενεαίνετε χῶρον
κοῦροι Ἀθηναίων, χαλεπὸν δὲ θεῶν ἄτερ ὔμμιν.
οὐ γὰρ θέσφατόν ἐστι πρὶν ἂν κομίσητ' ἀπὸ Τροίης
Ῥήσου ἀνευρόντες καλάμην πατρίῃ δέ τ' ἀρούρῃ
κρύψητ' εὐαγέως· τότε δ' ἂν τόγε κῦδος ἄροισθε.

καὶ ἱκετεύσασιν αὐτοῖς χρᾷ τάδε ἡ Πυθία· Ἀρκάδες κτλ. ὡς δὲ οἱ Φιγαλεῖς . . ἤκουσαν . . . . Ὀνάταν . . πείθουσι . . ποιῆσαί σφισιν ἄγαλμα Δήμητρος.

5: *σὲ ἔπαυσε* codd. *σέ γ'* Schub. *σ' ἀπέπαυσε* Kayserus [mus. rhen. V 363]. || *Δηὼ δὲ νομήων* codd. emendavit Kayserus. || 6: *ἀναστοφάγον* codd. *ἀκανθοφάγον* Kayserus. ||

v. 1: *ἐν Ἀρκαδίῃ βαλανηφάγοι ἄνδρες* orac. ap. Her. I 66. || 2: *ἱππολεχής* et *κρυπτήριος ἅπ. εἰρ.* [praeter eccles. script]. 3: *ἀλγινόεις* Hes. th. 214. 226. || *λύσιν λιμοῦ* Hes. op. 404. ||

120 a) Paus. VI 11 7. *Θεαγένην* codd. ||

b) Eus. pr. ev. V 34. *Δήμητρ' ἀπαμήσεις* Meinekius in Fleckeis. ann. 89 p. 60. Dindorf. ||

cf. Wolffii Porphyr. p. 84.

c) Eus. pr. ev. V 34. *γῆν ἀναρώσεις* Dind. *γᾶν ἀναρώσεις* Meinekius. *γαῖαν ἀρώσεις* Gaisford, quem de codd. scriptura conferas. ||

121) Polyaen. VI 53: *Ἅγνων Ἀττικὴν ἀποικίαν ἤγαγεν οἰκίσαι βουλόμενος τὰς καλουμένας Ἐννέα ὁδοὺς ἐπὶ τῷ Στρυμόνι· ἦν γὰρ καὶ λόγιον Ἀθηναίοις τοιόνδε· Τίπτε κτλ.*

122.

. . . τὸ Πελασγικὸν ἀργὸν ἄμεινον.

123.

. . ἄκρον λαβὲ καὶ μέσον ἕξεις.

124.

Εὔδαιμον πτολίεθρον Ἀθηναίης ἀγελείης,
πολλὰ ἰδὸν καὶ πολλὰ παθὸν καὶ πολλὰ μογῆσαν
αἰετὸς ἐν νεφέλῃσι γενήσεαι ἤματα πάντα.

125.

Ἔστι Πύλος πρὸ Πύλοιο, Πύλος γε μέν ἐστι καὶ ἄλλη.

126.

Εἰ τὸ μέσον κτήσαιο Κορίνθου καὶ Σικυῶνος.

---

v. 2: ἄτερ Ζηνός Il. XV 292. ‖ 3: θέσφατόν ἐστι form. ep. ‖ 4: πατρὶς ἄρουρα Od. I 407. ‖ 5: εὐαγέως hymn. Dem. 274. ‖ κῦδος ἀρέσθαι form. ep. ‖

122) Thuc. II 17: τὸ Πελασγικὸν καλούμενον . . ὃ καὶ ἐπάρατόν τε ἦν μὴ οἰκεῖν καί τι καὶ Πυθικοῦ μαντείου ἀκροτελεύτιον τοιόνδε διεκώλυε, λέγον ὡς τὸ Πελασγικὸν κτλ.

123) Zenob. I 57: οἱ τὴν Αἴγιναν οἰκήσαντες πολέμῳ ἐκπεσόντες τῆς πατρίδος ἐχρήσαντο τῷ θεῷ· ὁ δὲ ἀνεῖλεν· ἄκρον κτλ. οἱ δὲ συμβαλόντες τὸν χρησμὸν ἀκροτήριόν τι κατασχόντες μέσον ᾤκησαν.

124) Schol. Aristoph. equ. 1013: ἐγένετο χρησμὸς τοῖς Ἀθηναίοις ἐπὶ τοῦ δήμου αὐτῶν λεγόμενος· Εὐδ. κτλ.

cf. schol. equ. 1086. av. 978. Zenob. II 50. vv. 1 et 3 etiam in schol. ad Aristid. p. 114 (ed. Frommel.).

v. 3: πετήσε[τ]αι schol. Aristid. ‖

v. 1: Ἀθηναίης ἀγελείης fine versus ut semper apud Homerum; cf. Ameis ad Od. XIII 359. ‖ v. 2: cf. Odyss. initium. ‖ 3: ἤματα πάντα homerice.

125) Aristoph. equ. 1059 prima verba ἔστι Πύλος πρὸ Πύλοιο affert, cetera schol. cf. Eustath. ad. Hom. p. 1394, 46.

126) Athen. V 219 A: . . τὸν πυθόμενον, εἴτ' Αἴσωπός

127.

Ἥξει Δωριακὸς πόλεμος καὶ λοιμὸς ἅμ' αὐτῷ.

128.

Ἐσχατιὰν πεφύλαξο λύκου καμάκεσσι δοκεύων
καὶ λόφον Ὀρχαλίδην ὃν ἀλώπηξ οὔποτε λείπει.

129.

Καὶ τότ' Ἀθηναίοισι βαρύστονα κήδεα θήσει
Ζεὺς ὑψιβρεμέτης οὗπερ κράτος ἐστὶ μέγιστον,
νηυσὶ φερεπτολέμοισι μάχην καὶ δηιοτῆτα,
ὀλλυμέναις δυλεροῖσι τρόποις κακότητι νομήων.

ἐστιν ὁ λογοποιός εἴτ' ἄλλος τις, ,πῶς ἂν πλουτήσαιμι, Διὸς καὶ Λητοῦς υἱέ;' χλευάζων ἀπεκρίνατο· Εἰ κτλ.

adde Aristoph. av. 968 et schol. Zenob. III 57. Eustath. p. 291, 30. Suidas εἰ τὸ μέσον κτλ.

127) Thuc. II 54: ἐν τῷ κακῷ ἀνεμνήσθησαν καὶ τοῦδε τοῦ ἔπους φάσκοντες οἱ πρεσβύτεροι πάλαι ᾄδεσθαι· Ἥξει κτλ.

cf. Il. I 61: εἰ δὲ ὁμοῦ πόλεμός τε δαμᾷ καὶ λοιμὸς Ἀχαιούς.

128) Plut. Lys. XXIX: λέγεται δὲ καὶ Θηβαίοις ὑπὸ τὸν Πελοποννησιακὸν πόλεμον ἐν Ἰσμηνίῳ γενέσθαι χρησμὸν ἅμα τήν τε πρὸς Δηλίῳ μάχην καὶ τὴν πρὸς Ἁλιάρτῳ ταύτην ἐκείνης ὕστερον ἔτει τριακοστῷ γενομένην προμηνύοντα. ἦν δὲ τοιοῦτος· Ἐσχατιὰν κτλ.

129) Paus. X 9, 11: τὴν δὲ πληγὴν Ἀθηναῖοι τὴν ἐν Αἰγὸς ποταμοῖς οὐ μετὰ τοῦ δικαίου συμβῆναί σφισιν ὁμολογοῦσι· προδοθῆναι γὰρ . . ὑπὸ τῶν στρατηγησάντων . . . καὶ ἐς ἀπόδειξιν τοῦ λόγου Σιβύλλης παρέχονται τῶν χρησμῶν· καὶ τότ' κτλ.

in v. 3: φερεπτολέμοισι scripsi cum Dindorfio et Schubarto. ‖

v. 2: Ζεὺς ὑψιβρεμέτης οὗτε κράτος ἐστὶ μέγιστον Od. V 4. ‖ 3: μάχης καὶ δηιοτῆτος Il. VII 290. ‖

130.

Καὶ γὰρ Ἀθηναίοισιν ἐπέρχεται ἄγριος ὄμβρος
ἡγεμόνων κακότητι· παραιφασίη δέ τις ἔσται·
ἦ τάχος ἠμύσουσι πόλιν, τίσουσι δὲ ποινήν.

131.

Φράζεο δὴ Σπάρτη, καίπερ μεγάλαυχος ἐοῦσα,
μὴ σέθεν ἀρτίποδος βλάστῃ χωλὴ βασιλεία.
δηρὸν γὰρ μόχθοι σε κατασχήσουσιν ἄελπτοι
φθερσίβροτόν τ' ἐπὶ κῦμα κυκωομένου πολέμοιο.

132.

Ὁπλίτην κελάδοντα φυλάξασθαί σε κελεύω
γῆς τε δράκονθ' υἱὸν δόλιον κατόπισθεν ἰόντα.

---

130) Paus. X 9, 11: *τὰ δὲ ἕτερα ἐκ Μουσαίου χρησμῶν μνημονεύουσι· Καὶ γὰρ κτλ.*

in v. 3 pro corrupto quod exstat *ηπταλοις* scripsi *ἦ τάχος*. cf. Synesii epist. LXXIII [Hercheri epistulogr. p. 684]: *πατέρων αὐτὸ [τὸ λόγιον] καὶ πάππων ἠκούσαμεν ὅτι φθερεῖ τὰ Λιβύων „ἡγεμόνων κακότης." αὐτὸ γὰρ τοῦτό ἐστι τοῦ χρησμοῦ τὸ τεμάχιον.*

131) Paus. III 8, 9: *τῷ Ἀγησιλάῳ καὶ Λεωτυχίδῃ παρέσχεν ἐς πλέον τὸ μάντευμα ἀντιλογίαν τὸ ἐκ Δελφῶν, γεγονὸς μὲν ἐκεῖ, ἔχον δὲ οὕτω· Φράζεο κτλ.*

adde Plut. Ages. III. Lysand. XXII. de Pyth. or. XI. cf. Xen. Hell. III 3, 3.

in v. 3: *νοῦσοι* pro *μόχθοι* Plut. in vita Ages. ‖ 4: *φθισίμβροτον* et *φθισίβροτον* Plut.; *φθερσιβρότου* aut *φθισιβρότου* malunt Bekkerus et Sintenis. ‖ *κυλινδόμενον* Plut. ‖

3: *μόχθοι κατασχήσουσιν* ut apud Homerum *γῆρας κατέχει* Od. XI 497 saep.

132) Plut. Lys. XXIX: *ἦν γὰρ ὡς ἔοικε τῷ Λυσάνδρῳ δεδομένος χρησμὸς οὕτως ἔχων· Ὁπλ. κτλ.*

1: *πὰρ ποταμὸν κελάδοντα* Il. XVIII 576. ‖

133.

Λεῦκτρά τέ μοι σκιόεντα μέλει καὶ Ἀλήσιον οὖδας,
καί μοι τὼ Σκεδάσου μέλετον δυσπενθέε κούρα.
ἔνθα μάχη πολύδακρυς ἐπέρχεται· οὐδέ τις αὐτὴν
φράσσεται ἀνθρώπων, πρὶν κούριον ἀγλαὸν ἥβην
Δωριέες ὀλέσωσ' ὅταν αἴσιμον ἦμαρ ἐπέλθῃ.
τουτάκι δ' ἔστι Κερησσὸς ἁλώσιμος, ἄλλοτε δ' οὐχί.

134.

Πρὶν δορὶ συμβαλέειν ἐχθροῖς, στήσασθε τρόπαιον,
ἀσπίδα κοσμήσαντες ἐμήν, τὴν εἴσατο νηῷ
θοῦρος Ἀριστομένης Μεσσήνιος. αὐτὰρ ἐγώ τοι
ἀνδρῶν δυσμενέων φθίσω στρατὸν ἀσπιστάων.

135.

Καὶ τότε δὴ Σπάρτης μὲν ἀπ' ἀγλαὸν ἄνθος ὀλεῖται,
Μεσσήνη δ' αὖτις οἰκήσεται ἤματα πάντα.

136.

Ἀργυρέαις λόγχαισι μάχου καὶ πάντα κρατήσεις.

---

133) Exstat apud Paus. IX 14, 3. v. 1: *σκιόεις* vox Hom. ‖ 3: *ὑσμίνη πολύδακρυς* Il. XVII 544. ‖ 5: *αἴσιμον ἦμαρ* et *ἐπελθεῖν* form. Hom. ‖

134) Paus. IV 32, 5: *φασὶν οἱ Θηβαῖοι μελλούσης τῆς μάχης ἔσεσθαί σφισιν ἐν Λεύκτροις ἐς ἄλλα τε ἀποστεῖλαι χρηστήρια καὶ ἐρησομένους τὸν ἐν Λεβαδείᾳ θεόν* . . . . . *Τροφώνιον δέ φασιν εἰπεῖν ἑξαμέτρῳ· Πρὶν κτλ.*

135) Paus. IV 27, 4: *μάλιστα δὲ τὸν Ἐπαμεινώνδαν ἐς τὸν οἰκισμὸν οἱ Βάκιδος ἐνῆγον χρησμοί. Βάκιδι γὰρ μανέντι ἐκ Νυμφῶν ἐς ἄλλους τέ ἐστιν Ἑλλήνων καὶ ἐς τὴν Μεσσηνίων κάθοδον προειρημένα· Καί τότε κτλ.*
v. 2: *ἤματα πάντα* form. Hom. ‖

136) Suidas: *καὶ παροιμία· Ἀργυρ. κτλ. τοῦτον γὰρ τὸν χρησμὸν ἡ Πυθία ἔχρησε Φιλίππῳ.*
adde Greg. Cypr. M. I 64. Macar. II 29. Apostol. III 91. Arsen. s. v. *ἀργυρέαις.* cf. Plut. Aem. Paul. XII 6. Ioann. Sic. p. 57.

137.

Τῆς ἐπὶ Θερμώδοντι μάχης ἀπάνευθε γενοίμην
αἰετὸς ἐν νεφέεσσι καὶ ἠέρι θηήσασθαι.
κλαίει ὁ νικηθείς, ὁ δὲ νικήσας ἀπόλωλεν.

138.

Τὴν δ' ἐπὶ Θερμώδοντι μάχην μένε, παμμέλαν ὄρνι.
τηνεί τοι κρέα πολλὰ παρέσσεται ἀνθρώπεια.

139.

Ἔστεπται μὲν ὁ ταῦρος, ἔχει τέλος, ἔστιν ὁ θύσων.

140.

Αὐχοῦντες βασιλεῦσι Μακηδόνες Ἀργεάδῃσιν,
ὑμῖν κοιρανέων ἀγαθὸν καὶ πῆμα Φίλιππος.
ἤτοι ὁ μὲν πρότερος πόλεσιν λαοῖσί τ' ἄνακτας
θήσει· ὁ δ' ὁπλότερος τιμὴν ἀπὸ πᾶσαν ὀλέσσει,
δμηθεὶς ἑσπερίοισιν ὑπ' ἀνδράσιν ἠῴοις τε.

---

137) Plut. Demosth. XIX: ... *καὶ χρησμὸς ᾔδετο παλαιὸς τῶν Σιβυλλείων· Τῆς κτλ.*

138) Plut. Dem. XIX: ... *ἐπὶ δὲ τούτῳ* [*Δοῦρίς φησι*] *ησμὸν ἄλλον λέγεσθαι ᾄδοντα· Τὴν κτλ.*

139) Paus. VIII 7, 6: *Φίλιππος μὲν οὐ πρόσω βιώσας τε καὶ τεσσαράκοντα ἐτῶν τὸ μάντευμα ἐξετέλεσε τὸ Δελφῶν, ὃ δὴ χρωμένῳ οἱ περὶ τοῦ Πέρσου γενέσθαι γουσιν· Ἔστεπται κτλ.*

140) Paus. VII 8, 8: *τὰ δὲ ἐς Μακεδόνας δύναμίν τε ἣν ι Φιλίππου περιεβάλοντο τοῦ Ἀμύντου καὶ ὡς ἐπὶ λίππου τοῦ ὑστέρου τὰ πράγματα σφίσιν ἐφθάρη, Σίβυλλα κ ἄνευ θεοῦ προεθέσπισεν. ἔχει δὲ οὕτω τὰ χρησθέντα· ὐχ ...*

5: *ἠὲ πρὸς ἠοίων ἢ ἑσπερίων ἀνθρώπων* Od. VIII 29. ‖

141.

Ἑρμῆς Ἀλκείδης καὶ ἱμαντόμαχος Πολυδεύκης
οἱ τρεῖς ἀθλήσαντες ἀνακτίσσουσί σε, Θῆβαι.

142.

Τρὶς μάκαρες κεῖνοι καὶ τετράκις ἄνδρες ἔσονται
οἳ Πάγον οἰκήσουσι πέρην ἱεροῖο Μέλητος.

143.

Ζῆνα θεῶν ὕπατον καὶ Ἀθηνᾶν Τριτογένειαν
τιμᾶτε βροτέων ἐν σώματι κρυπτὸν ἄνακτα·
ὃν Ζεὺς καρτίσταισι γοναῖς ἔσπειρεν ἀρωγὸν
εὐνομίης θνητοῖσιν Ἀλέξανδρον βασιλῆα.

144.

Ὦ βασιλεῦ σοὶ Φοῖβος ὁ μηλοκέρως ἀγορεύω·
εἴγε θέλεις αἰῶσιν ἀγηράτοισι νεάζειν,
κτίζε πόλιν περίφημον ὑπὲρ Πρωτηίδα νῆσον,

---

141) Tzetzes chil. VI 418:
οὕτω μὲν κατεσκάφησαν τῷ Ἀλεξάνδρῳ Θῆβαι.
χρησμὸς τοῖς περιλοίποις δὲ δίδοται τῶν Θηβαίων
περὶ τῆς ἀνακτίσεως οὕτω κατ' ἔπος λέγων
Ερμῆς κτλ.
1: ἱμαντόμαχος ἅπ. εἰρ. ‖ 2: cf. Il. VII 453:
ἐγὼ καὶ Φοῖβος Ἀπόλλων
ἥρῳ Λαομέδοντι πολίσσαμεν ἀθλήσαντες.

142) Paus. VII 5, 3: . . . ἀποστέλλουσιν ἐς Κλάρον θεωροὺς οἱ Σμυρναῖοι περὶ τῶν παρόντων σφίσιν ἐρησομένους, καὶ αὐτοῖς ἔχρησεν ὁ θεὸς Τρὶς . .

1: τρὶς μάκαρες Δαναοὶ καὶ τετράκις οἳ τότ' ὄλοντο Od. V 306. ‖ ἱεροῖο Μέλητος epigr. hom. IV 7.

143) Socr. hist. eccl. III 23: τοῦ δὲ Μακεδόνων βασιλέως ἐς τὴν Ἀσίαν διαβαίνοντος οἱ Ἀμφικτύονες Ἀλεξάνδρῳ ἐχαρίζοντο καὶ ἀνεῖλεν ἡ Πυθία τάδε· Ζῆνα κτλ.

in v. 3: ἀρίσταισι codd. ἀρρήτοισι Reading. ‖

144) Ps. Callisth. I 30, 33: ὁ Ἄμμων . . λέγει τῷ Ἀλεξάνδρῳ ὦ βασιλεῦ κτλ.

ἧς προκάθητ' Ἀίδης Πλουτώνιος αὐτὸς ἀνάσσων,
πενταλόφοις κορυφαῖσιν ἀτέρμονα κόσμον ἑλίσσων.

145.

Λήξει παῖς σὸς ἔρωτος ὅταν κούφῃ νεότητι
Κύπριδος ἱμερόεντι καταφλεχθῇ φρένας οἰστρῷ.
ὀργὴν οὖν πρήυνον ἀμειδέα, μηδ' ἐπιτείνειν
κωλύων· πράσσεις γὰρ ἐναντία σοῖσι λογισμοῖς·
ἢν δέ γ' ἐφ' ἡσυχίην ἔλθῃς λήθην τάχος ἕξει
φίλτρων καὶ νήψας αἰσχρᾶς καταπαύσεται ὁρμῆς.

146.

a) Αἰακίδη προφύλαξο μολεῖν Ἀχερούσιον ὕδωρ
Πανδοσίην θ' ὅθι τοι θάνατος πεπρωμένος ἐστίν.

---

v. 2: corruptus mihi videtur et propter verba *αἰῶσιν ἀγηράτοισι νεάζειν* et quod metrum (*ἀγηρᾰτοισι*) repugnat. ‖ v. 4: *προκάθηται αἰὼν Πλ.* codd. *ἧς δαίμων προκάθηται Πλουτώνειος ἀνάσσων* Dübnerus. ‖

145) Suidas: *ὅτι Διογένης εἶχεν ἐρῶντα παῖδα . . . . ἧκεν οὖν εἰς Δελφοὺς καὶ . . ἐρωτᾷ εἴ οἱ πέπαυται νοσῶν ποτε ὁ παῖς. ἡ δὲ . . λέγει ταῦτα· Λήξει κτλ.*

v. 5: *ἢν δέ γ' ἐφ'* cum Gaisfordio pro *ἢν δ' ἐφ'*. ‖

146 a) Suidas s. v. *Τόνον· Πυθικὸν ἦν προμάντευμα ἐν τόνοις ἑξαμέτροις οὕτω προλέγον τὴν τελευτὴν [Ἀλεξάνδρου τοῦ Μολοττοῦ]: Αἰακίδη κτλ.*

Liv. VII 24: Alexandrum regem Epiri . . interfectum sortes Dodonaei Jovis eventa adfirmasse [proditum est]. accito ab Tarentinis in Italiam data dictio erat caveret Acherusiam aquam Pandosiamque urbem; ibi fatis eius terminum dari.

Justin. XII 2: huic [Alexandro Epirotae] responsum Dodonei Jovis circa urbem Pandosiam amnemque Acherusium [insidias] praedixerat.

cf. Aeliani fr. 458 [Hercher.].

Strabo VI 256: *ἐξηπάτησε δὲ καὶ τοῦτον ὁ ἐκ Δωδώνης χρησμός, φυλάττεσθαι κελεύων τὸν Ἀχέροντα καὶ τὴν Πανδοσίαν.*

b) *Πανδοσίη τρικόλωνε πολύν ποτε λαὸν ὀλέσσεις.*

147.

Εἰμὶ θεὸς τοιόσδε μαθεῖν οἷόν κ' ἐγὼ εἴπω·
οὐράνιος κόσμος κεφαλή, γαστὴρ δὲ θάλασσα,
γαῖα δέ μοι πόδες εἰσί, τὰ δ' οὔατ' ἐν αἰθέρι κεῖται
ὄμμα τε τηλαυγὲς λαμπρὸν φάος ἠελίοιο.

148.

Δὴ τότ' ἀμειψάμενος στεινὸν πόρον Ἑλλησπόντου
αὐλήσει Γαλατῶν ὀλοὸς στρατός, οἵ ῥ' ἀθεμίστως
Ἀσίδα πορθήσουσι· θεὸς δ' ἔτι κύντερα θήσει
πᾶσι μάλ' οἳ ναίουσι παρ' ἠϊόνεσσι θαλάσσης
εἰς ὀλίγον· τάχα γάρ σφιν ἀοσσητῆρα Κρονίων

---

b) Steph. Byz.: *Πανδοσία φρούριον Βρεττίων ἐρυμνὸν τρικόρυφον περὶ ὃ ἐφθάρη Ἀλέξανδρος ὁ Μολοττὸς ἀπατηθεὶς ὑπὸ χρησμοῦ τοιούτου· Πανδοσίη κτλ.*
adde Strab. VI 256: .. *προσηπάτησε δὲ καὶ ἄλλο λόγιον· Πανδοσία κτλ.*

147) Macrob. Sat. I 20, 16: Sarapis quem Aegyptii deum maximum prodiderunt oratus a Nicocreonte Cypriorum rege quis deorum haberetur, his versibus sollicitam religionem regis instruxit: *εἰμὶ θεὸς κτλ.*
cf. Wolff de noviss. orac. aet. p. 16.

148) Paus. X 15, 2: *στρατιὰν δὲ τῶν Κελτῶν, ὡς ἐκ τῆς Εὐρώπης διαβήσοιτο ἐς τὴν Ἀσίαν ἐπ' ὀλέθρῳ τῶν πόλεων, Φαεννὶς προεδήλωσεν ἐν τοῖς χρησμοῖς γενεᾷ πρότερον ἢ ἐπράχθη τὸ ἔργον· Δὴ τότ' κτλ. Παῖδα δὲ εἶπε ταύρου τὸν ἐν Περγάμῳ βασιλεύσαντα Ἄτταλον· τὸν δὲ αὐτὸν τοῦτον καὶ ταυρόκερων προσείρηκε χρηστήριον.*
2: *αὐχήσει* Sylb. *ἀνοήσει* Lobeck. *αὐλίσσει* vel *αὐλίσεται* G. Hermann. *ἀμειψόμενος — αὖ δήσει* Schub. *ὧδ' ἥξει* Kayserus. ‖ 4: *πᾶσι* Bekkerus Dindorfius Schubartus: codicum altera pars om., altera exhibet *Πάγχυ.* ‖
5: .. *τοῖόν τοι ἀοσσητῆρα Κρονίων ἐξ Ἴδης προέηκε* ...

ὁρμήσει, ταύροιο διοτρεφέος φίλον υἱόν,
ὃς πᾶσιν Γαλάτῃσιν ὀλέθριον ἦμαρ ἐφήσει.

149.

Θάρσει Ταυρόκερως, ἕξεις βασιληίδα τιμὴν
καὶ παίδων παῖδες· τούτων γε μὲν οὐκέτι παῖδες.

150.

Βουλεύῃ, Σικυών, ζωάγριον αἰὲν Ἀράτου,
ἀμφ᾽ ὁσίῃ θαλίῃ τε κατοιχομένοιο ἄνακτος;
ὡς τὸ βαρυνόμενον τῷδ᾽ ἀνέρι καὶ τὸ βαρῦνον
γαίης ἔστ᾽ ἀσέβημα καὶ οὐρανοῦ ἠδὲ θαλάσσης.

151.

Ἀλλ᾽ ὁπόταν Τρώων γενεὰ καθύπερθε γένηται
Φοινίκων ἐν ἀγῶνι, τότ᾽ ἔσσεται ἔργα ἄπιστα·
πόντος μὲν λάμψει πῦρ ἄσπετον, ἐκ δὲ κεραυνῶν
πρηστῆρες μὲν ἄνω διὰ κύματος αἴξουσιν
ἄμμιγα σὺν πέτρᾳ, ἡ δὲ στηρίξεται αὐτοῦ,
οὐ φατὸς ἀνθρώποις νῆσος· καὶ χείρονες ἄνδρες
χερσὶ βιησάμενοι τὸν κρείσσονα νικήσουσιν.

Il. XV 254. ‖ 7: ὀλέθριον ἦμαρ Il. XIX 294. 409. ἐφήσω χεῖρας, βέλος, κήδεα, ἀεικέα πότμον, ἄεθλον Hom. ‖

149) Suidas: ὅτι Ἄτταλος ὁ Ἀπολλωνίας ἀνὴρ βασιλεὺς Ἀσίας μεταλλάττει τὸν βίον πληρωθείσης ἐπ᾽ αὐτῷ τῆς Πυθίας ἥτις χρηστηριαζομένη Ἀττάλῳ τῷ μεγάλῳ ἔφη· Θάρσει κτλ. cf. Diod. ex. Vat. XXXIV 8. Paus. X 15, 3.

1: τιμὴ βασιληίς Il. VI 193. ‖

150) Plut. Arat. 53: ἔπεμψαν οἱ Σικυώνιοι εἰς Δελφοὺς ἐρησόμενοι τὴν Πυθίαν. ἡ δὲ αὐτοῖς ἀναιρεῖ τὸν χρησμὸν τόνδε· Βουλεύῃ κτλ.

v. 1: βουλεύου coni. Schaeferus. ‖

151) Plut. de Pyth. or. XI: περὶ τὸν Φιλίππου καὶ Ῥωμαίων πόλεμον.

152.

Παῦσαι σκυλεύων στρατὸν ἄϊδος εἰς χθόνα βάντα·
ἤδη γὰρ Κρονίδης νεμεσᾷ Ζεὺς μέρμερα λεύσσων,
μηνίει δὲ φόνῳ στρατιᾶς καὶ σοῖσιν ἐπ' ἔργοις,
καὶ πέμψει φῦλον θρασυκάρδιον εἰς χθόνα τὴν σήν,
οἵ σ' ἀρχῆς παύσουσιν, ἀμείψῃ δ' οἷά γ' ἔρεξας.

153.

Ἴσχεο νῦν Ῥωμαῖε, δίκη δέ τοι ἔμμονος ἔστω,
μή σοι ἐφορμήσῃ Παλλὰς πολὺ φέρτερον Ἄρη,
χηρώσῃ δ' ἀγοράς· σὺ δέ, νήπιε, πολλὰ μογήσας
ἵξεαι ἐς χώρην τὴν σὴν πολὺν ὄλβον ὀλέσσας.

154.

Ὦ πατρὶς οἷόν σοι λυγρὸν φέρει Ἄρη Ἀθήνη,
ἡνίκα πορθήσασ' Ἀσίην πολύολβον ἵκηαι
Ἰταλίην ἐς γαῖαν, ἐϋστεφάνους τε πόληας
Θρινακίης νήσου πολυηράτου ἣν κτίσατο Ζεύς.
ἥξει γὰρ στρατιὴ πολυφέρτατος, ὀβριμόμυθος,
τηλόθεν ἐξ Ἀσίης, ὅθεν ἡλίου ἀντολαί εἰσιν,
καὶ βασιλεὺς διαβὰς στεινὸν πόρον Ἑλλησπόντου
ὅρκια πιστὰ ταμεῖ πρὸς κοίρανον Ἠπειρώτην,
ἄξει δ' εἰς Ῥώμην στρατιὴν ἀνάριθμον ἀγείρας
παντόθεν ἔκ τ' Ἀσίης ἠδ' Εὐρώπης ἐρατεινῆς,
καί σε δαμᾷ, χήρους δ' οἴκους καὶ τείχεα θήσει,
δουλοσύνην δ' ἐπὶ πᾶσιν ἐλεύθερον ἦμαρ ἀπούρας
τεύξει μήνιδος οὕνεκ' Ἀθηναίης μεγαθύμου.

---

152) Oracula 152—156 exstant apud Phlegontem in mirab. III [Westerm. *παραδοξογρ.* p. 126].

154) in v. 4: *Θρινακίην νῆσον πολυήρατον* cod. corr. Meinekius eumque secutus Kellerus. ‖ 8: *τεμεῖ* Kellerus. ‖ 9: *εἰς Ἀσίην* cod. *εἰς αἶαν* Nauckius: *εἰς Ῥώμην* Westerm. Kellerus. ‖

155.

Ἡνίκα Νισαῖοι χρυσάμπυκες ἀργέται ἵπποι
βῶσιν ἐπὶ χθόνα δῖαν, ἑὴν προλιπόντες ἐφέδρην,
οὓς ποτ᾽ ἐν ἄστει τεῦξε Συρηκοσίων πολυόλβων
Δαίδαλος Ἠετίων, φιλίαν πολυήρατον αὔξων,
δαῖτ᾽ ἐπὶ χαλκείῃ, δεσμοῖς δ᾽ ἐπὶ δεσμὸν ἴαλλεν,
χρύσεον ἐν δ᾽ αὐτὸν πᾶσιν Ὑπερίονος υἱὸν
ἥρμοσεν ἀκτίνεσσι καὶ ὄμμασι μαρμαίροντα·
καὶ τότε σοὶ, Ῥώμη, χαλεπ᾽ ἄλγεα πάντα τελεῖται.
ἥξει γὰρ στρατὸς εὐρὺς ὃ σοῦ χθόνα πᾶσαν ὀλέσσει,
χηρώσει δ᾽ ἀγοράς, ἄστη δέ τε πυρπόλα θήσει,
αἵματι δὲ πλήσει ποταμούς, πλήσει δὲ καὶ ᾅδην,
δουλοσύνην τ᾽ οἰκτρὴν στυγερὴν ἀτέκμαρτον ἐφήσει.
οὐδὲ γυνὴ πόσιν ὅν γ᾽ ὑποδέξεται ἐκ πολέμοιο
νοστήσαντ᾽, ἀΐδης δέ, καταχθόνιος, μελανείμων,
ἕξει ἐνὶ φθιμένοισιν ὁμοῦ τέκνα μητρὸς ἀπούρας,
Ἄρης δ᾽ ἀλλοδαποῖς περιθήσει δούλιον ἦμαρ.

156.

Μὴ ψαῦ᾽ ἡμετέρης κεφαλῆς· οὐ γὰρ θέμις ἐστίν,
οἷσιν Ἀθηναίη χόλον ἄγριον ἐν φρεσὶ θῆκεν,
ἅπτεσθαι θείοιο καρήατος· ἀλλὰ πέπαυσο,
μαντοσύνην τ᾽ ἐπάκουσον, ἀληθέα τήνπερ ἐρῶ σοι.
ἥξει γὰρ χθόνα τήνδε πολὺς καὶ καρτερὸς Ἄρης,
ὃς λαὸν μὲν ἔνοπλον ὑπὸ σκότον ἄϊδι πέμψει,
ῥήξει δ᾽ αὖ λιθίνους πύργους καὶ τείχεα μακρά,
ὄλβον δ᾽ ἡμέτερον καὶ νήπια τέκν᾽ ἀλόχους τε
μάρψας εἰς Ἀσίην ἄξει διὰ κῦμα περήσας.
ταῦτά σοι εἴρηκεν νημερτέα Φοῖβος Ἀπόλλων
Πύθιος, ὅς μοι ἑὸν κρατερὸν θεράποντ᾽ ἐπιπέμψας
ἤγαγεν εἰς μακάρων τε δόμους καὶ Περσεφονείης.

---

155) v. 4: φιλίην Kellerus. ‖ 9: ὃ σοῦ Kell. ὅς οὐ ceteri ditt. ‖ 12: ἐφήσει Nauckius: ἐφέσει cod. ἐφέσσει editt. ‖

156) in v. 4: ἥπερ ἐρεῖ σοι cod. corr. Meinekius. ‖ 12: νέρων Nauckius. ‖

157.

Ὅσσα τέρα καὶ ὅσσα παθήματα δαίμονος αἴσης,
ἱστὸς ἐμὸς λύσει, τάδ' ἐνὶ φρεσὶν αἴκε νοήσῃς,
ῥώμῃ ἐῇ πίσυνος. καί τοί ποτε φημὶ γυναῖκα
ἀνδρογύνον τέξεσθαι ἔχοντά περ ἄρσενα πάντα·
νηπιαχαί θ' ὅσα θηλύτεραι φαίνουσι γυναῖκες.
οὐκ ἔτι δὴ κρύψω, θυσίας δέ τοι ἐξαγορεύσω
προφρονέως Δήμητρι καὶ ἁγνῇ Περσεφονείῃ.
ἴστω δ' αὐτὴ ἄνασσα θεά, τὰ μὲν εἶχε πίθηαι
. . . .
σεμνοτάτῃ Δήμητρι καὶ ἁγνῇ Περσεφονείῃ.
θησαυρὸν μὲν πρῶτα νομίσματος εἰς ἓν ἀθροίσας,
ὅττι θέλεις ἀπὸ παμφύλων πόλεών τε καὶ αὐτῶν,
μητρὶ Κόρης Δήμητρι κέλευ θυσίαν προτίθεσθαι.
αὐτὰρ δημοσίᾳ κέλομαί σε τρὶς ἐννέα ταύρους
φανὰς ἠυκέρους θυέμεν λευκότριχας αἵ κεν
ὑμετέρᾳ γνώμῃ κάλλει προφερέσταται ὦσιν.
παῖδας, ὅσας πάρος εἶπα, κέλευ Ἀχαιστὶ τάδ' ἔρδειν
ἀθανάτην βασίλισσαν ἐπευχομένας θυέεσσιν
σεμνῶς καὶ καθαρῶς· τότε δὴ μετέπειτα δεχέσθω
ἔμπεδ' ἀφ' ὑμετέρων ἀλόχων ἱερ', αὐτάς ἐπ' αὐτοῖς
ἱστῷ ἐμῷ πίσυνοι λαμπρὸν φάος αἴδε φερόντων
σεμνοτάτῃ Δήμητρι τὸ δεύτερον, αὖτε λαβοῦσαι
τρὶς τόσα νήφαλα πάντα πυρὸς μαλεροῖο τιθέντων,
ὅσσαι ἐπισταμένως θυσίαν γρααὶ προτίθενται.
προφρονέως δ' ἄλλαι Πλουτωνίδι τόσσα λαβοῦσαι,
ὅσσαι ἐν ἡλικίῃ νεοθαλέα θυμὸν ἔχουσιν
νηπίαχοι, σεμνὴν Πλουτωνίδα παντοδίδακτον
ἐν πάτρᾳ εὐχέσθων μίμνειν πολέμου κρατέοντος,
λήθην δ' ἐν στήθεσσι πεσεῖν πολέμου καὶ αὐτῆς.

---

157) Corruptissimum hoc oraculum exstat Phleg. mir. X [in Westerm. παραδοξογρ. p. 133 sq.]. Westermanno tutius videbatur totum carmen intactum relinquere; emendationes haud paucas easque mihi probatas dedit Emperius opusc. p. 231 sq., quo loco singula conferas.

v. 1: τλήμονος Nauckius Kellerus. ‖ 2: νήσει eidem. ‖ 16: ἀγελαστί Nauckius. ‖ 23: γραῖαι idem. ‖ 37: Αἰδωνεῖ

θησαυρὸν δὲ κόροι καὶ παρθένοι ἔνθα φερόντων
ἱστῷ θειοπαγεῖ, καὶ ὑφάσματα ποικίλα, σεμνῇ
ὡς Πλουτωνίδι κόσμον, ὅπως σχέσις ᾖσι κακοῖο.
προφρονέως δ' ὅτι κάλλιστον καὶ εὐκτὸν ἐπ' αἶαν
ὡς θνητοῖσιν ἰδέσθαι ἐπέπλετο, καὶ τὸ φέρεσθαι
ἱστῷ σύμμικτον δῶρον βασιληίδι κούρῃ·
αὐτὰρ ὅτ' ἂν Δήμητρι καὶ ἁγνῇ Περσεφονείῃ

. . . .

γαίας ὑμετέρας ἀπερυκέμεναι ζυγὸν αἰεὶ

. . . .

Αἰδωνεῖ Πλούτωνι βοὸς κυανότριχος αἷμα,
λαμπροῖς εἵμασι κοσμητοὺς μετὰ ποιμένος ὅστις
λήματι ᾧ πίσυνος βοὸς ἄρτεμος αὐτὸς ὅδ' ἔσται
ὅσσοι τ' ἄλλοι ὁμοῦ πίσυνοι κατὰ πατρίδ' ἔασι·
μὴ γὰρ ἀπιστόφιλος θυσίαισιν ἀνὴρ παρεπέσθω·
ἔξω δ' ἔνθ' ἀνομιστὸν ἐπέπλετο φωτὶ τάδ' ἔρδειν
οὐ πιστῷ, καὶ ἄδαιτον ἔχειν θυσίαν, κατὰ δ' αὐλήν.
ὅστις ἂν ἡμετέρων χρησμῶν ἴδρις ἐς τόδ' ἵκηται
σεμνὸν Φοῖβον ἄνακτα μετελθέτω ἐν θυσίαισι,
προφρονέως βωμοῖς ἐπὶ πίονα μηρία καύσας,
αἰγῶν παλλευκῶν νεάτην· ἀτὰρ οἴδατε πάντες,
λισσέσθω Φοῖβον παιήονα κρᾶτα πυκάσσας,
ἱκτῆρες πίπτοντες ὅπως λύσις ᾖσι κακοῖο,
νοστήσας δ' ἀπὸ τοῦ βασιληίδα πότνιαν Ἥρην·
ἀργὴν βοῦν θύων πατρίοισι νόμοισι κατ' αἶσαν,
ὑμνεῖν αἶκε γένει προφερέστεραι ὧσ' ἐνὶ λαοῖς.
καὶ νήσων ναέται τὴν ἀντιπαλῶν ὅταν αἶαν
οὐ δόλῳ ἀλλὰ βίᾳ Κυμαΐδα πρόφρονες αὖτε
νάσσωνται, σεμνῆς βασιληίδος οἴδε τιθέντων
ἐν πατρίοισι νόμοις Ἥρας ξόανόν τε καὶ οἶκον.
ἕξει δ', ἂν μύθοισιν ἐμοῖς τάδε πάντα πίθηαι,
ἐν πολλῷ χρόνῳ αὖ τότ' ἐφ' ὕστερον ὅς κεν ἐπ' αὐτοῖς
νήφαλά κεν ῥέξας ὅσαι ἡμέραι εἰς ἐνιαυτόν
σεμνοτάτην βασίλισσαν ἐπέλθῃ σὺν θυσίαισιν.

---

obetus. || 38: κοσμητοῦ Nauckius. || 39: λήματι ᾧ Cobetus ιov. lect. p. 274] Nauckius, νηματίῳ Emperius. || 49: ἱκτὴρ ιπίπτοντος Nauckius Kellerus. || 53: τῶν ἀντιπάλων ὅτ'

ὅς κε τάδε ῥέξῃ κείνου κράτος ἔσσεται αἰεί.
νηφαλίμων ἀρνῶν τε ταμὼν χθονίοις τάδε ῥέξον
† ἦμος ἂν ἤδη ἔχοις μεγαλήτην οὐκ ἀπάντη
ξεστοδόκον ξοάνῃσι καὶ τἆλλ' ὅς ἔλεξα σάφ' ἴσθι·
ἐν πετάλοισιν ἐμοῖς ὑπὸ κερκίδος ἀμφὶ καλύπτρας
ἵμερτός σε βάλεν γλαυκῆς ἐλάας πολυκάρπου,
ἀγλαὰ φύλλα λαβοῦσα λύσιν κακοῦ. ἦμος ἂν ἔλθῃ
ὔμμι χρόνος μάλα κεῖνος ἐν ᾧ ποτε τἆλλα νεογνὴς
Τρὼς δή τοι παύσει σε κακῶν ἅμα δ' Ἑλλάδος ἐκ γῆς.
αὐτὰρ ποῦ μεταβᾶσαν ἐποτρύνεις ἀγορεῦσαι.

158.

Παῖς Ἑβραῖος κέλεταί με θεοῖς μακάρεσσιν ἀνάσσων
τόνδε δόμον προλιπεῖν καὶ Ἅιδην αὖθις ἱκέσθαι.
λοιπὸν ἄπιθι σιγῶν ἐκ βώμων ἡμετεράων.

159.

Ἔσχατος Αἰνεαδῶν μητροκτόνος ἡγεμονεύσει.

160.

Εὔαδέ μοι χθιζὸς λίβανος κλυτοῦ ἑρμηνῆος.

ἂν εἶεν Müllerus Kellerus. ‖ 59: ἐνιαυτοῦ Nauckius Kell. ‖ 61: ῥέξει cod. corr. Nauckius. ‖ 64: corr. Kellerus. ‖

158) Suid. Αὔγουστος Καῖσαρ θυσιάσας ἤρετο τὴν Πυθίαν τίς μετ' αὐτὸν βασιλεύσει·

adde Cedren. p. 182 C. [I 320 Bekk.] Malal. p. 298 [Dindorf].

2: καὶ ἅιδος Mal. καὶ ὁδόν Cedr. ‖ 3: καὶ λοιπὸν ἄπιθι ἐκ Mal. ἄπιθι λοιπὸν ἐκ δόμων Cedr. ‖ ἡμετέρων Suid. Mal. Cedr. ‖

159) Cedrenus p. 205 B [I p. 360 Bekk.]: μετὰ δὲ Κλαύδιον ἐβασίλευσε Νέρων περὶ οὗ λόγιον ἦν· Ἔσχατος κτλ.

160) Sopater prolegg. in Aristid. Panath. p. 740, 19 [Westerm. βιογρ. p. 325]: . . λέγεται ὅτι εἰσελθόντος εἰς Δελφοὺς εὐτελοῦς τινος καὶ λαβόντος χρησμόν, Νέρων οὐκ ἔλαβε, ζητῶν καὶ αὐτὸς πυθέσθαι περί τινος, εἶτα ἤρετο ἀνθ' ὅτου. ἡ δὲ Πυθία ἀπεκρίθη· Εὔαδέ μοι κτλ.

161.

Ἄμβροτα φορμίζειν ἀναβάλλομαι ὕμνον ἀοιδῆς,
ἀμφ' ἀγανοῖο φίλοιο μελιχροτάταισιν ὑφαίνων
φωναῖς εὐφήμου κιθαρῆς χρυσέῳ ὑπὸ πλήκτρῳ.
κλήζω καὶ Μούσας ξυνὴν ὄπα γηρύσασθαι
παμφώνοις ἰαχαῖσι παναρμονίαισί τ' ἐρωαῖς,
οἷον ἐπ' Αἰακίδῃ στῆσαι χόρον ἐκλήιχθεν.
ἀθανάτων μανίαισιν Ὁμηρείαισί τ' ἀοιδαῖς.
ἀλλ' ἄγε Μουσάων ἱερὸς χόρος, ἀπύσωμεν
εἰς ἓν ἐπιπνείοντες ἀοιδῆς τέρματα πάσης·
ὔμμι καὶ ἐν μέσσαισιν ἐγὼ Φοῖβος βαθυχαίτης.
Δαῖμον, ἄνερ τὸ πάροιθεν, ἀτὰρ νῦν δαίμονος αἴσῃ
θειοτέρῃ πελάων, ὅτ' ἐλύσαο δεσμὸν ἀνάγκης
ἀνδρομέης ῥεθέων δὲ πολυφλοίσβοιο κυδοιμοῦ,
ῥωσάμενος πραπίδεσσιν ἐς ἠόνα νηχύτου ἀκτῆς
νῆχε' ἐπειγόμενος δήμου καὶ νόσφιν ἀλιτρῶν,
στηρίξαι καθαρῆς ψυχῆς εὐκαμπέα οἴμην,
ἧχι θεοῖο σέλας περιλάμπεται, ἧχι θέμιστες
ἐν καθαρῷ ἀπάτερθεν ἀλιτροσύνης ἀθεμίστου.
καὶ τότε μὲν σκαίροντι πικρὸν κῦμ' ἐξυπαλύξαι
αἱμοβότου βιότοιο καὶ ἀσηρῶν ἰλίγγων

---

cf. Hierocl. in aur. Pythag. carm. comment. p. 33 [ed. Mullach]: . . τοιοῦτον δὲ καὶ τὸ Πυθίου πάλιν ἀπόφθεγμα. πρὸς γὰρ τὸν ἑκατόμβας θύσαντα μὴ μετ' εὐσεβοῦς γνώμης καὶ πυνθανόμενον πῶς εἴη προσδεδεγμένος τὰ παρ' αὐτοῦ δῶρα ἀπεκρίνατο·

Ἀλλά μοι εὔαδε χόνδρος ἀγακλυτοῦ Ἑρμιονῆος.

Vetustissimum autem eum versum fuisse in quo Λύκου Ἑρμιονῆος legeretur, comparato Ptolem. Hephaest. III p. 62 Lobeckius in Aglaophamo p. 1005 ostendit recteque probavit Wolffius de noviss. oracul. aet. p. 5.

161) Exstat apud Porphyr. in vit. Plotin. 22.

cf. Wolff. de noviss. orac. aet. p. 7. et R. Volkmannum in Fleckeis. annal. 77 p. 869.

5: παναρμονίοισι Wolff. ‖ 8: ἠπύσωμεν idem. ‖ 11: ἀνήρ Volkmann. ‖ 13: ῥοθίων coni. Wolff. ‖ 25: ὀρθοπόρων

ἐν μεσάτοισι κλύδωνος ἀνοίστου τε κυδοιμοῦ,
πολλάκις ἐκ μακάρων φάνθη σκοπὸς ἐγγύθι ναίων.
πολλάκι σεῖο νόοιο βολὰς λοξῇσιν ἀταρποῖς,
ἱεμένας φορέεσθαι ἐρωῇσιν σφετερῇσιν
ὀρθοπόρου ἀνὰ κύκλα καὶ ἄμβροτον οἶμον ἄειραν
ἀθάνατοι θαμινὴν φαέων ἀκτῖνα πορόντες
ὄσσοισιν δέρκεσθαι ἀπὸ σκοτίης λυγαίης.
οὐδέ σε παμπήδην βλεφάρων ἔχε νηδύμος ὕπνος
ἀλλ' ἄρ' ἀπὸ βλεφάρων πετάσας κηλῖδα βαρεῖαν
ἀχλύος, ἐν δίνῃσι φορεύμενος ἔδρακες ὄσσοις
πολλά τε καὶ χαρίεντα τά κεν ῥέα οὔτις ἴδοιτο
ἀνθρώπων ὅσσοι σοφίης μαιήτορες ἔπλευν.
νῦν δ' ὅτε δὴ σκῆνος μὲν ἐλύσαο, σῆμα δ' ἔλειψας
ψυχῆς δαιμονίης, μεθ' ὁμήγυριν ἔρχεαι ἤδη
δαιμονίην, ἐρατοῖσιν ἀποπνείουσαν ἀήταις,
ἔνθ' ἔνι μὲν φιλότης, ἔνι δ' ἵμερος ἁβρὸς ἰδέσθαι
εὐφροσύνης πλείων καθαρῆς πληρούμενος αἰὲν
ἀμβροσίων ὀχετῶν θεόθεν, ὅθεν ἐστὶν ἐρώτων
πείσματα καὶ γλυκερὴ πνοιὴ καὶ νήνεμος αἰθήρ,
χρυσείης γενεῆς μεγάλου Διός, ἧχι νέμονται
Μίνως καὶ Ῥαδάμανθυς ἀδελφεοὶ, ἧχι δίκαιος
Αἰακὸς, ἧχι Πλάτων ἱερὴ ἴς, ἧχί τε καλὸς
Πυθαγόρης ὅσσοι τε χόρον στήριξαν ἔρωτος
ἀθανάτου, ὅσσοι γενεὴν ξυνὴν ἐλάχοντο
δαίμοσιν ὀλβίστοις, ὅθι τοι κέαρ ἐν θαλίῃσιν
αἰὲν εὐφροσύνῃσιν ἰαίνεται. ἆ μάκαρ, ὅσσους
ὀτλήσας ἀριθμοὺς ἀέθλων μετὰ δαίμονας ἁγνοὺς
πωλέεαι ζαμένῃσι κορυσσάμενος ζωῇσι.
στήσωμεν μολπήν τε χοροῦ τ' εὔδινέα κύκλον
Πλωτίνου Μοῦσαι πολυγηθέες, αὐτὰρ ἐμεῖο
χρυσείη κιθάρη τόσσον φράσεν εὐαίωνι.

---

et *κατ'* pro *καί* idem. ‖ *ἀπαί* codd. *ἀπὸ* Volkmann. ‖ 29: *σκεδάσας* Wolff. ‖ 32: *μαιεύτορες* idem. ‖ 37: *πλεῖος* idem. ‖ 48: *ζαμενέσσι* idem. ‖

Textus quem dedi Kirchhoffianus est, nisi quod ille *ἀπαί* servavit. ‖

162.

Ἐσθλὸς ἀνὴρ μακάρεσσι τετιμένος ὀλβιοδαίμων.

163.

a) Ἔξιτέ μοι μεγάρων, ἀπατήμονες οὔλιοι ἄνδρες,
φύτλης ἀθανάτων ἐρικυδέος ἀλγυντῆρες.

b) Κίρκος τρήρωσιν ἱερὸν γόον ἠγηλάζων
οἶος πολλῇσιν· ταὶ δὲ φρίσσουσι φονῆα.

164.

Αἴ κε πάθῃ, τά τ' ἔρεξε, δίκη κ' ἰθεῖα γένοιτο.

165.

Οὐ θέμις ἐν Τροίῃ σε πάλιν τμηθέντι θεμείλῳ
Ῥώμης ἱδρῦσαι νέον οὔνομα· βαῖνε δὲ χαίρων

---

162) Syncell. p. 361 B [I 680 Dind.]: Θεμιστοκλῆς φιλόσοφος ἤκμαζεν ᾧ τὸν Πύθιον Ἕλληνες μαρτυρῆσαι μυθεύονται τόδε ἔπος ἀνειπόντα· Ἐσθλὸς κτλ.

163) Zosimus I 57: ἐν Σελευκείᾳ τῇ κατὰ Κιλικίαν Ἀπόλλωνος ἱερὸν ἵδρυτο καλουμένου Σαρπηδονίου καὶ ἐν τούτῳ χρηστήριον . . . τοῖς Παλμυρηνοῖς δὲ χρωμένοις εἰ καθέξουσι τὴν τῆς ἑῴας ἡγεμονίαν ἔχρησεν ὁ θεὸς οὕτως· Ἔξιτε κτλ. πυνθανομένοις δέ τισι περὶ τῆς Αὐρηλιανοῦ κατὰ Παλμυρηνῶν στρατείας ὁ θεὸς ἀνεῖλε· Κίρκος κτλ. cf. Wolff de noviss. orac. aet. p. 21.

164) Suidas: χρησμὸς δοθεὶς περὶ τῶν Αυρηλιανοῦ φόνων καὶ ἀδικιῶν. adde schol. Aesch. suppl. 451. Juliani conviv. p. 314 A [I p. 403 Hertlein]. Aristot. ethic. Nicom. V 8. Fragmentum Hesiodi est 69. cf. Wolff. de nov. orac. aet. p. 35. εἴκε Arist. ‖ πάθοι Aristot. Suidas. ‖ τά κε Arist. Schol. Aesch. Suid. τά τ' Schneidewinus [paroemiogr. I p. 396]. et Bernhardyus. δίκη δ' schol. Aesch. Jul. Suid. ‖

165) Anth. Pal. XIV 115: Κωνσταντῖνος ἐλθὼν ἐν τῇ Τροίῃ πλησίον ἠβουλήθη κτίσαι πόλιν βασιλικὴν καὶ λαβὼν τὸν χρησμὸν ἀνεχώρησε καὶ κτίζει Κωνσταντινούπολιν. cf. Wolff de novissima orac. aetate p. 3.

ἐς μεγαρήιον ἄστυ Προποντίδος ἄγχι θαλάσσης,
ἔνθ' ἰχθὺς ἔλαφός τε νομὸν βόσκουσι τὸν αὐτόν.

166.

Ἀλλ' ὁπόταν σκήπτροισι τεοῖς Περσήιον αἷμα
ἄχρι Σελευκείης κλονέων ξιφέεσσι δαμάσσῃς,
δὴ τότε σὲ πρὸς Ὄλυμπον ἄγει πυριλαμπὲς ὄχημα
ἀμφὶ θυελλείῃσι κυκώμενον ἐν στροφάλιγξι,
ῥίψαντα βροτέων ῥεθέων πολύτλητον ἀνίην.
ἥξεις δ' αἰθερίου φάεος πατρώιον αὐλὴν
ἔνθεν ἀποπλαγχθεὶς μεροπήιον ἐς δέμας ἦλθες.

167.

Γηγενέων ποτὲ φῦλον ἐνήρατο μητιέτα Ζεὺς
ἔχθιστον μακάρεσσιν Ὀλύμπια δώματ' ἔχουσι.
Ῥωμαίων βασιλεύς, Ἰουλιανὸς θεοειδής,
μαρνάμενος Περσῶν πόλιας καὶ τείχεα μακρὰ
ἀγχεμάχων διέπερσε πυρὶ κρατερῷ τε σιδήρῳ.
νωλεμέως δ' ἐδάμασσε πόλεις καὶ ἔθνεα πολλά.
ὅς ῥα καὶ ἑσπερίων ἀνδρῶν Ἀλαμανικὸν οὖδας
ὑσμίναις πυκιναῖσιν ἑλὼν ἀλάπαξεν ἀρούρας.

---

v. 1: Τροιη σε cod. Τροίης σε Schäferus Dübnerus. || fortasse δμηθέντι Dübn. 4: βόσκονται τὸν αὐτόν codex. βόσκονται ἐς αὐτόν Dübn. ||

166) Suidas: χρησμὸς περὶ τῆς τελευτῆς Ἰουλιανοῦ τοῦ παραβάτου τοῦ ἀθέου· Ἀλλ' κτλ.

adde Eunap. exc. Vat. p. 72 (ed. Niebuhr) cf. Müll. hist. fr. IV p. 25.

v. 1: ὁπότε Eun. || v. 5: λυσάμενον βροτέων Eun. ||

167) Suidas: Ἰουλιανός· ἔστι δὲ καὶ ὁ χρησμὸς ὁ δοθεὶς αὐτῷ ὅτε περὶ Κτησιφῶντα διῆγε· Γηγεν.

adde Eunap. fr. p. 108 (ed. Nieb.). Anth. Pal. XIV 148.

v. 6: καὶ ἔθνεα πολλὰ καὶ ἄλλα anth. Pal. Suid. ex parte codd. || 7: ἀλλὰ καὶ Suid. codd. || Αλμανικόν anth. P. || cf. Müller hist. fr. IV p. 25.

168.

Εἴπατε τῷ βασιλῆι, χαμαὶ πέσε δαίδαλος αὐλά.
οὐκέτι Φοῖβος ἔχει καλύβαν, οὐ μάντιδα δάφνην,
οὐ παγὰν λαλέουσαν. ἀπέσβετο καὶ λάλον ὕδωρ.

169.

Ἀλλ' ὅτε δὴ νύμφαι ἱερὴν κατὰ ἄστυ χορείην
τερπόμεναι στήσονται ἐυστεφέας κατ' ἀγυιάς,
καὶ τεῖχος λουτροῖσι πολύστονον ἔσσεται ἄλκαρ·
δὴ τότε μυρία φῦλα πολυσπερέων ἀνθρώπων
ἄγρια μαργαίνοντα κακὴν ἐπιειμένα ἀλκὴν
Ἴστρου Κιμμερίοιο πόρον διαβάντα σὺν αἰχμῇ
καὶ Σκυθικὴν ὀλέσει χώρην καὶ Μυσίδα γαῖαν·
Θρηικίης δ' ἐπιβάντα σὺν ἐλπίσι μαινομένῃσιν
αὐτοῦ κεν βιότοιο τέλος καὶ πότμον ἐπίσποι.

---

168) Cedr. p. 304 A [532 Bekk.]: Ἰουλιανὸς πέμπει Ὀριβάσιον τὸν ἰατρὸν καὶ κοιαίστωρα ἐν Δελφοῖς ἀνεγεῖραι τὸν ναὸν τοῦ Ἀπόλλωνος. ἀνελθὼν οὖν λαμβάνει χρησμὸν παρὰ τοῦ δαίμονος· Εἴπατε κτλ.

169) Socrat. schol. IV 8: ὁ βασιλεὺς [Οὐάλενς] Χαλκηδόνος τῆς κατ' ἀντικρὺ Βυζαντίου πόλεως τὰ τείχη λύειν προσέταττεν. . . . . εὕρηται δὲ ἐν ἑνὶ τῶν λίθων ἐπιγεγραμμένος χρησμός, ὃς ἐκέκρυπτο μὲν ἐκ παλαιοῦ, τότε δὲ φανερῶς ἐγένετο δηλῶν ὡς ἡνίκα δαψιλὲς ὕδωρ ὑπάρξαι τῇ πόλει τότε τὸ μὲν τεῖχος λουτρῷ ὑπουργήσει. Ἀλλ' ὅτε κτλ.

Adde Cedren. p. 310 B. [I p. 543 Bekker.] ad Apollinem Chalcedonicum refert versus Müllerus geogr. gr. min. II p. 95. cf. Gyll. de topogr. Const. III 9.

v. 1: δροσερήν Socr. ‖ 3: λουτροῖο Socr. ‖ 5: μαρμαίροντα Socr. ‖ 6: καλλιρόοιο Socr. ‖ 7: χώρην καὶ Μυσηίδα Socr. ‖

4: πολυσπερέες ἄνθρωποι Od. XI 365. II 804. ‖ μυρία φῦλα Il. XVII 220. ‖ ἐπιειμένος ἀλὴν Il. VII 164. ‖ 9: θάνατον καὶ πότμον ἐπισπεῖν form. Hom.

170.

Πάντῃ Φοιβείῃ τέταται τανυσίσκοπος ἀκτίς,
καί τε διὰ στερεῶν χωρεῖ θοὸν ὄμμα πετράων,
καὶ διὰ κυανέης ἁλὸς ἔρχεται· οὐδέ ἑ λήθει
πληθὺς ἀστερόεσσα παλινδίνητος ἰοῦσα
οὐρανὸν εἰς ἀκάμαντα σοφῆς κατὰ θεσμὸν ἀνάγκης,
οὐδ' ὅσα νερτερίων ὑπεδέξατο φῦλα καμόντων
Τάρταρος ἀχλυόεντα ὑπὸ ζόφον Ἄιδος εἴσω.
Εὐσεβέσιν δὲ βροτοῖς γάνυμαι τόσον ὅσσον Ὀλύμπῳ.

171.

a) Ὅσσοι ἐς ἀρητῆρας ἀτασθαλίῃσι νόοιο
ἀθανάτων ῥέζουσ' ἀποφώλια καὶ γεράεσσιν
ἀντία βουλεύουσιν ἀδεισιθέοισι λογισμοῖς,

170) Julianus p. 299 C [I p. 384 Hertlein]: οὐκ ἐμὸς ὁ λόγος οὗτος ἀλλὰ τοῦ θεοῦ, διὰ πολλῶν μὲν εἰρημένος λόγων, ἐμοὶ δὲ ἀπόχρη καὶ ἕνα παρατιθεμένῳ δύο δι' ἑνὸς παραστῆσαι, πῶς μὲν ὁρῶσιν οἱ θεοὶ πάντα, πῶς δὲ ἐπὶ τοῖς εὐσεβέσιν εὐφραίνονται· Πάντῃ κτλ.

cf. Hierocl. in aur. Pyth. carm. comment. p. 32 [Mullach]: ὡς γὰρ . . φασι καθαρᾶς τόπον οἰκειότερον ἐπὶ γῆς θεὸς οὐκ ἔχει· οἷς καὶ ὁ Πύθιος συμφέρεται λέγων·
εὐσεβέσιν δὲ βροτοῖς γάνυμαι τόσον ὅσσον Ὀλύμπῳ.

cf. Lobeckii Aglaoph. p. 1006. Wolffii de nov. or. aet. p. 47.

1: τανυσίπτερος vulgo ante Hertleinium. ‖ 7: ἀχλυόεσσαν ὑπὲρ ζόφον codd. ἀχλυόεσσιν ὑπ' οἰκόφιν coniecit Wolffius. Mihi ἀχλυόεντα ὑπὸ ζόφον veri simillinum videtur: ὑπὸ ζόφον saepissime apud Homerum occurrit, ut Od. XX 356 ἐρεβόσδε ὑπὸ ζόφον. Nec hiatus offendit praesertim cum caesura excusetur. ‖ 6: καμόντες homerice. ‖

171) Julianus p. 297 C [Hertlein. I p. 382. Hercher. epistologr. p. 382]: τῶν τοῦ Διδυμαίου δεσπότου χρησμῶν ἐπάκουσον εἴ σοι φανείη πάλαι μὲν ἔργῳ νουθετήσας καλῶς τοὺς Ἕλληνας, ὕστερον δὲ τοὺς σωφρονοῦντας διδάσκων τοῖς λόγοις· Ὅσσοι κτλ.

cf. Wolffii de nov. or. aet. p. 46.

v. 1: οὐχ ὁμαλὴν coni. Wolffius. ‖ 6: ἔχον coni. Hercherus. ‖

οὐκέθ᾽ ὅλην βιότοιο διεκπερόωσιν ἀταρπόν·
ὅσσοιπερ μακάρεσσιν ἐλωβήσαντο θεοῖσιν,
ὧν κεῖνοι θεόσεπτον ἕλον θεραπηΐδα τιμήν.

b) *Πάντας μὲν θεράποντας ἐμοὺς ὀλοῆς κακότητος.*

172.

Πολλὰς καὶ Φοίνικες ὁδοὺς μακάρων ἐδάησαν.

173.

Συμβαλέω θνητόν τε καὶ ἀθάνατον μαχέσασθαι,
νίκην δ᾽ ἀμφοτέροις δώσω, θνητῷ δέ νυ μᾶλλον.

174.

Εὐδαίμων ὁ Κόρινθος, ἐγὼ δ᾽ εἴην Τενεάτης.

175.

Εἴκοσι τὰς πρὸ κυνὸς καὶ εἴκοσι τὰς μετέπειτα
οἴκῳ ἐνὶ σκιερῷ Διονύσῳ χρῆσθαι ἰητρῷ.

---

b) Julianus l. l.: *καὶ πάλιν ἐν ἄλλοις ὁ θεός φησι· Πάντας κτλ. καί φησιν ὑπὲρ τούτων δίκην ἐπιθήσειν αὐτοῖς.*

172) Julian. or. VII p. 220 D [I p. 286 Hertlein.]: *Σεμέλη παῖς ἦν Κάδμου τοῦ Φοίνικος. τούτοις δὲ καὶ θεὸς σοφίαν μαρτυρεῖ· Πολλὰς κτλ. λέγων.*

173) Paus. X 1, 4: . . *οἱ Φωκεῖς ἐν οὐ μικρῷ ποιούμενοι δείματι τὴν τῶν Θεσσαλῶν παρασκευὴν . . . ἀποστέλλουσιν ἐς Δελφοὺς αἰτοῦντες τὸν θεὸν ἐκφυγεῖν τὸν ἐπιόντα κίνδυνον. καὶ αὐτοῖς ἀφίκετο μάντευμα· Συμβαλέω κτλ.*

2: *δὲ νῦν ἄλλον* cod. pars, unde Müllerus [Orchom. p. 415] *δέ νυν ἆθλον* scribendum putat.

174) Strabo geogr. 380: *φέρεται χρησμὸς ὁ δοθείς τινι τῶν ἐκ τῆς Ἀσίας ἐρωτῶντι εἰ λώιον εἴη μετοικεῖν ἐς Κόρινθον· Εὐδαίμων κτλ. ὅπερ κατ᾽ ἄγνοιάν τινες παρατρέπουσιν· ἐγὼ δ᾽ εἴην Τεγεάτης.*

adde Steph. Byz. *Τενέα.* Eust. ad Il. *β* 607 p. 301, 39. Zenob. III 96. Arsen. Pseudo-Plutarchea apud Dübnerum p. 164.

175) Athen. I 22 e: *πυθικὸν χρησμὸν ἀναγράφει Χαμαιλέων· Εἴκοσι κτλ. καὶ Μνησίθεος δὲ Ἀθηναῖος Διόνυσον*

176.

Πίν' οἶνον τρυγίαν, ἐπεὶ οὐκ Ἀνθηδόνα ναίεις
οὐδ' ἱερὰν Ὑπέραν ὅθι κ' ἄτρυγον οἶνον ἔπινες.

177.

Ἀλλά κε Μηθύμνης ναέταις πολὺ λώιον ἔσται
φαλλῆνον τιμῶσι Διωνύσοιο κάρηνον.

178.

Γαίης μὲν πάσης τὸ Πελασγικὸν Ἄργος ἄμεινον,
ἵπποι Θεσσαλικαί, Λακεδαιμόνιαι δὲ γυναῖκες,
ἄνδρες δ' οἳ πίνουσιν ὕδωρ καλῆς Ἀρεθούσης.
ἀλλ' ἔτι καὶ τῶν εἰσὶν ἀμείνονες οἱ τὸ μεσηγὺ

ἰατρόν φησι τὴν Πυθίαν χρῆσαι τιμᾶν Ἀθηναίοις. — Eus. pr. ev. V 30: *καὶ οὐχ ὁπότε ἠρωτᾶτο μόνον, ἀλλὰ καὶ αὐτόκλητος ἐπὶ τὰς τοιάσδε συνουσίας ἰών· Εἴκοσι κτλ. Ἀθηναίοις ὑπὸ καύματος ἐνοχλουμένοις ἰατρικόν, ἀλλ' οὐ μαντικόν* cf. Lobeck. Aglaoph. p. 1085.

2: *ἰατρῷ* Eus.

176) Athen. p. 31 B: *ἐν τῷ χρησμῷ ὁ θεὸς ηὐτομάτισε. Πίν' κτλ.* adde Plut. quaest. gr. XIX. Suidas et Zonaras lex. s. v. *Ἀλθηφιάς.* cf Mülleri histor. gr. fr. II p. 15, 136. III 158. praef. p. 22.

in v. 2: *ὅθι γ'* Plut. Athen. *τ'* Suid. Zon. *κ'* primus Schweighäuserus scripsit. ||

177) Eus. pr. ev. V 36. Theodoret. gr. aff. cur. p. 141, 34.

v. 1: *καὶ* pro *κε* Euseb. || 2: *Φαλλῆνος* Lobeckius Aglaoph. p. 1087. ||

178) Suidas [et Photius] s. v. *ὑμεῖς: ἱστορεῖ δὲ Μνασέας ὅτι Αἰγιεῖς οἱ ἐν Ἀχαίᾳ καταναυμαχήσαντες Αἰτωλοὺς καὶ λαβόντες πεντηκόντορον αὐτῶν δεκάτην Πυθοῖ ἀνατιθέντες ἠρώτων τίνες εἶεν οἱ κρείττους τῶν Ἑλλήνων. ἡ δὲ Πυθία ἔχρησεν αὐτοῖς τὰ προκείμενα. καὶ Ἴων δὲ Αἰγιεῦσι δοθῆναι τὸν χρησμὸν ἱστορεῖ. τινὲς δὲ οἴονται Μεγαρεῦσιν εἰρῆσθαι αὐτὸν καὶ προφέρονται· ὑμεῖς δ' ὦ Μεγαρεῖς . . . ὡς καὶ Καλλίμαχος ἐν τοῖς ἐπιγραμματίοις.*

Τίρυνθος ναίουσι καὶ Ἀρκαδίης πολυμήλου,
Ἀργεῖοι λινοθώρηκες, κέντρα πτολέμοιο·
ὑμεῖς δ' ὦ Μεγαρεῖς οὐδὲ τρίτοι οὐδὲ τέταρτοι
οὐδὲ δυωδέκατοι, οὔτ' ἐν λόγῳ οὔτ' ἐν ἀριθμῷ.

179.

Ἄργεος ἱπποβότου πῶλον λαβὲ κυανοχαίτην.

180.

Καί μοι Γεργίθων τε φόνος μέλει ἀπτολεμίστων,
πισσήρων τε μόρος, καὶ δένδρεον αἰὲν ἀθαλλές.

Omnes versus exhibent Schol. Theocr. XIV 48. Suidas, Arsenius s. v. *Μέμνωνος*. Anth. Pal. XIV 77. Tzetz. chil. IX 863 sq. X 382 sq.

Singuli versus exstant Schol. Il. II 543. 761. XXIV 6. Strab. X 5, 13 p. 449. Athen. VII 278 E. Schol. Aristid. p. 208 [Fr.]. Steph. Byz. s. v. *Αἴγιον*. Euseb. pr. ev. V 29. Theodor. gr. aff. cur. p. 141. Eustath. ad Dion. Per. 473.

v. 1: *οὖδας* pro *Ἄργος* Eus. Theodor. ‖ 2: *ἵππον Θεσσαλικήν* schol. Il. Athen. *Θεσσαλικόν* Strab. Eustath. *ἵπποι Θρηΐκιαι* schol. Theocr. schol. Aristid. Eus. Theod. ‖ *Λακεδαιμονίαν τε γυναῖκα* schol. Il. Strab. *Λακεδαιμονίην* Athen. *Λακεδαιμονίαν δὲ* Eustath. *Λακεδαιμόνιαί τε γυναῖκες* schol. Theocr. anth. Pal. Eus. Theod. Tzetz. ‖ 3: *ἄνδρας θ' οἳ* schol. Il. II 761. Strab. *ἄνδρας δ'* Athen. Eustath. ‖ *ναίουσιν* schol. Il. II 543. ‖ *ἱερῆς* pro *καλῆς* Strab. Eustath. ‖ *ἱερὰν πηγὴν Ἀρεθούσης* schol. Il. II 761. ‖ v. 4: *τῶνδ' εἰσὶν* Tzetz. ‖ *μεταξὺ* Tzetz. ‖ v. 7: *Αἰγιέες* Steph. Byz. Tzetz. cf. schol. Il. XXIII 6 et Strab. ‖

v. 1: *τὸ Πελασγικὸν Ἄργος* Il. I 681. ‖ v. 6: exstat etiam in certam. Hom. et Hes. p. 22 apud Nitschium. ‖ v. 8: cf. *οὔτε ποτ' ἐν πολέμῳ ἐναρίθμιος οὔτ' ἐνὶ βουλῇ* Il. II 202. ‖

179) Eus. pr. ev. V 29: *περὶ γάμου*. — *κυανοχαίτου* codd. ‖ *Ἄργεος ἱπποβότοιο* Il. II 287 saep. ‖ *κυανοχαίτης* saep. apud Hom. ‖

180) Athenaeus XII p. 524 b: *ὁ θεὸς ἐπὶ πολὺν χρόνον ἀπήλαυνεν αὐτοὺς τοῦ μαντείου [τοὺς Μιλησίους] καὶ ἐπερωτώντων διὰ τίνα αἰτίαν ἀπελαύνονται εἶπε· Καί κτλ.*

181.

Γῆς Πέλοπος ναίεται καὶ Ἀχαιίδος, οἳ ποτὶ Πυθὼ
ἤλθετε πευσόμενοι ὥς κε πτολίεθρον ἕλητε,
ἀλλ' ἄγε δὴ φράζεσθε λάχος πόσον ἦμαρ ἕκαστον
λαῶν πινόντων ῥύεται πόλιν, ἡ δὲ πέπωκεν·
οὕτω γάρ κεν ἕλοιτε Φανὰν πυργήρεα κώμην.

182.

Δόξης ἀντιθέοιο καθηγητῆρα Πλάτωνα
εὖ δρώης τίουσα, χάρις δέ σ' ἀμείψεται ἐσθλὴ
ἐκ μακάρων οἷσίν περ ἀνὴρ ἐνάριθμος ἐκεῖνος.

183.

Στέλλ' ἐπὶ χρυσείους ἄνδρας πολυεθνέα λαὸν
ὤμοις μὲν χαλκὸν προφέρων, χερσὶν δὲ σίδηρον.

184.

Φαιστοῦ καὶ Τάρρας ναίεται Δίου τε πολύρρου,
Πυθῷον κέλομαι τελέειν Φοίβοιο καθαρμὸν
εὐαγέοντας, ὅπως Κρήτην καταναιετάητε,
ὄλβον μὴ πατρίοισι νόμοις, καὶ Ζῆνα σέβοντες.

185.

Ἔσσεται ἐσσομένοις ὅτε Πύραμος ἀργυροδίνης
ἠιόνα προχέων ἱερὴν ἐς Κύπρον ἵκηται.

---

181) Paus. X 18, 1: *οἱ Ἀχαιοὶ . . ὡς ἀδυνάτως εἶχον ἑλεῖν τὴν πόλιν [Φανὰν] θεωροὺς ἀποστέλλουσιν ἐς Δελφούς, καὶ αὐτοῖς ἀφίκετο μάντευμα· Γῆς κτλ.*

v. 1: *ὁππότε Πυθώ* vel *ἐς Πυθώ* codd. *οἳ ποτὶ Πυθώ* Bekkerus. ‖ 2: fortasse cum Bekkero *πῶς* — *ἕλοιτε* scribendum est. ‖

182) Vit. Platon [Westerm. *βιογρ.* p. 395]: *γυνή τις ἀπῆλθε χρησομένη εἰ δεῖ τὴν στήλην τοῦ Πλάτωνος συντάξαι ἀγάλμασι τῶν θεῶν. ἔχρησε δὲ ὁ θεὸς τάδε· Δόξης κτλ.*

183) Eus. pr. ev. V 29: *περὶ ἀποικίας.*

184) Eus. V 31: *τοῖς ἥκουσι Κρητῶν· Φαιστοῦ κτλ.*

185) Strabo I p. 43: . . *ὁ Πύραμος ὁ τῇ Κιλικίᾳ πολὺ μέρος προσθείς, ἐφ' οὗ καὶ λόγιον ἐκπέπτωκέ τι τοιοῦτον· Ἔσσεται κτλ.*

186.

a) Ἀνδρὶ φίλῳ θνήσκοντι παρὼν πέλας οὐκ ἐβοήθεις·
οὔ σε θεμιστεύσω· περικαλλέος ἔξιθι νηοῦ.

b) Ἔκτεινας τὸν ἑταῖρον ἀμύνων· οὔ σ' ἐμίανεν
αἷμα, πέλεις δὲ χέρας καθαρώτερος ἢ πάρος ἦσθα.

187.

[Ἀλλὰ νέας, Τροίζην, ἄλοκας μὴ τέμνε βαθείας.]

---

adde XII 2, 4 p. 536. Eust. ad Dion. Per. 867.

v. 1: εὐρυοδίνης codd. Strab. et Eust. ἀργυροδίνης epit. Strab. probat Meinekius vind. Strabon. p. 6 et Müllerus ad Eustathii l. c.

186) Ael. var. hist: III 44: νεανίσκοι τρεῖς ἐς Δελφοὺς ἀφικόμενοι θεωροὶ συμπολῖται κακούργοις περιτυγχάνουσιν. ὁ οὖν εἷς ἀπέδρα τοὺς λῃστάς, ὁ δὲ δεύτερος αὐτῶν συνεπλάκη τῷ λοιπῷ τῶν κακούργων τῶν ἄλλων προαναλωθέντων, καὶ τοῦ μὲν λῃστοῦ ἥμαρτεν, ὦσε δὲ τὸ ξίφος κατὰ τοῦ φίλου. τῷ ἀποδράντι οὖν ἡ Πυθία ἀνεῖλε τάδε· Ἀνδρὶ κτλ. τῷ ἑτέρῳ δέ· Ἔκτεινας κτλ.

Simplicius ad Epicteti man. XXXII 4 p. 259 a prius oraculum servavit idque apud eum ita procedit:

ἀνδρὶ φίλῳ θνήσκοντι παρὼν πέλας οὐκ ἐπαμύνας
ἤλυθες οὐ καθαρός· περικαλλέος ἔξιθι σηκοῦ.

Prioris oraculi versus alter exstat etiam in Etym. M. p. 445, 25, ubi θεμιστεύω invenitur.

187) Aristotel. Pol. VII [IV] 1335 A 15: ἐν ὅσαις τῶν πόλεων ἐπιχωριάζει τὸ νέους συζευγνύναι καὶ νέας, ἀτελεῖς καὶ μικροὶ τὰ σώματά εἰσιν. ἔτι δὲ ἐν τοῖς τόκοις αἱ νέαι πονοῦσί τε μᾶλλον καὶ διαφθείρονται πλείους. διὸ καὶ τὸν χρησμὸν γενέσθαι τινές φασι διὰ τοιαύτην αἰτίαν τοῖς Τροιζηνίοις, ὡς πολλῶν διαφθειρομένων διὰ τὸ γαμίσκεσθαι τὰς νεωτέρας, ἀλλ' οὐ πρὸς τὴν τῶν καρπῶν κομιδήν.

Ad χρησμόν in marg. codd. Paris. duorum adnotatum est: τὸ μὴ τέμνε νέαν ἄλοκα. Unde Goettlingius versum ita ut dedi restituit.

188.

Τρηχῖν' ἐξελεῖς πόλιν Ἡρακλέος θείοιο.
ὦ Λοκρέ· σοὶ δὲ Ζεὺς ἄλλας δῶκ' ἠδ' ἔτι δώσει.

189.

Οἰταῖοι μὴ σπεύδετ' ἀτασθαλίῃσι νόοιο.

190.

Ταῦτά τοι ἐκ τρίποδος τοῦ Δελφικοῦ ἔφρασε Φοῖβος.

191.

Εἴρῃ μ' ἀμφὶ γέλωτος ἀμείλιχε μειλιχίοιο·
δώσει σοι μήτηρ οἴκοι, τὴν ἔξοχα τίε.

192.

Ὅσσαπερ ἐν λεχέεσσι γυνὴ τίκτουσα τελεῖται,
ταῦτα πάλιν τελέσαντα θύειν μακάρεσσι θεοῖσιν.

193.

Ἄστυ Ταβῶν ἐρίκυδες ἐλεύθερον οἰκίζεσθαι.

---

188) Eus. pr. ev. VI 7. in v. 1: *Ἡρακλῆος* codd. *θείοιο* omnes praeter unum. ‖ 2: *σοὶ δ' ἄτας δῶκεν Ζεὺς* Ric. Volkmannus [in Fleckeisenii annal. LXXXI 1860 p. 612].

ad v. 2. cf. Il. I 96: *τοὔνεκ' ἄρ' ἄλγε' ἔδωκεν ἑκηβόλος ἠδ' ἔτι δώσει.* ‖

189) Exstat apud Eus. pr. ev. VI 7.

190) Exstat apud Zenob. VI 3 et Photium.

191) Athen. XIV p. 614 a: *Παρμενίσκος δὲ . . . εἰς Τροφωνίου καταβὰς καὶ ἀνελθὼν οὐκ ἔτι γελᾶν ἐδύνατο. καὶ χρηστηριαζομένῳ περὶ τούτου ἡ Πυθία ἔφη· Εἴρῃ κτλ.*

in v. 2: *οἴκοι* emend. Meinekius [anal. ad Athen. p. 293] pro *οἴκῳ.* ‖

192) Exstat apud Plut. quaest. Rom. V. De his *ὑστεροπότμοις* qui vocantur cf. etiam Beckeri Charicl. III p. 127.

193) Steph. Byz. *Τάβαι πόλις Λυδίας, περὶ ὧν ὁ χρησμός φησι πρὸς Πισίδας· Ἄστυ κτλ.*

cf. Müll. hist. fr. IV p. 311.

194.

Μοῖραν μὲν θνητοῖσιν ἀμήχανον ἐξαλέασθαι
ἣν ἐπὶ γεινομένοισι πατὴρ Ζεὺς ἐγγυάλιξεν.

195.

Ἐννέα γὰρ ζώει γενεὰς λακέρυζα κορώνη
ἀνδρῶν γηρώντων· ἔλαφος δέ τε τετρακόρωνος.

196.

Αὐδῶ Ἐρεχθείδαισιν ὅσοι Πανδίονος ἄστυ
ναίετε καὶ πατρίοισι νόμοις ἰθύνεθ' ἑορτάς,
μεμνῆσθαι Βάκχοιο, καὶ εὐρυχόρους κατ' ἀγυιὰς
ἱστάναι ὡραίων Βρομίων χάριν ἄμμιγα πάντας,
καὶ κνισᾶν βωμοῖσι κάρη στεφάνοις πυκάσαντας.

197.

Ἀνδρὶ Γεφυραίῳ οἶκος φίλος οἶκος ἄριστος.

198.

Τίπτε ποθεῖτε μαθεῖν νούσου τέλος ἠδὲ καὶ ἀρχήν;
ἀμφοτέρους μία νοῦσος ἔχει, λύσις ἔνθεν ἀνέστη.

---

194) Eustath. in Il. p. 657: *σημείωσαι δὲ ὅτι ἐντεῦθεν παρέξεσται ὁ χρησμὸς ὁ παρὰ τῷ Αἰλιανῷ ἐν τῷ περὶ Προνοίας λέγων οὕτως· Μοῖραν κτλ.*

Ael. fr. 21 apud Hercherum.

195) Etymol. M. XIII 35: *ἀγροτέρας ἐλάφους . . . διὰ τὸ πολύχρονον τοῦ ζώου, ὡς ὁ χρησμὸς δηλοῖ· Ἐννέα κτλ.*

Fragmentum ex Hesiodi scriptis est apud Göttling. 163.

196) Demosth. Mid. LX: . . *ἐν ταῖς μαντείαις ἀνῃρημένον εὑρήσετε τῇ πόλει, ὁμοίως ἐκ Δελφῶν καὶ ἐκ Δωδώνης, χοροὺς ἱστάναι κατὰ τὰ πάτρια καὶ κνισᾶν ἀγυιὰς καὶ στεφανηφορεῖν. . . . μαντεία· Αὐδῶ κτλ.*

197) Eust. ad Il. p. 408. cf. Suid. Zenob. III 26. Apostol. VI 33.

198) Xenoph. Ephes. VI: *χρᾷ ὁ θεὸς ἀμφοτέροις τὰ μαντεύματα ἐμμέτρως. τὰ δ' ἔπη τάδε· Τίπτε κτλ.*

δεινὰ δ' ὁρῶ τοῖσδεσσι πάθη καὶ ἀνήνυτα ἔργα·
ἀμφότεροι φεύξονται ὑπεὶρ ἅλα λυσσοδίωκτοι,
δεσμὰ δὲ μοχθήσουσι παρ' ἀνδράσι μιξοθαλάσσοις
καὶ τάφος ἀμφοτέροις θάλαμος καὶ πῦρ ἀίδηλον,
καὶ ποταμοῦ Νείλου παρὰ ῥεύμασιν Ἴσιδι σεμνῇ
σωτείρῃ μετόπισθε παραστῆς ὄλβια δῶρα.
ἀλλ' ἔτι που μετὰ πήματ' ἀρείονα πότμον ἔχουσι.

199.

Ἀνθία Ἀβροκόμην ταχὺ λήψεται ἄνδρα τὸν αὑτῆς.

200.

Νῆσός τις πόλις ἐστὶ φυτώνυμον αἷμα λαχοῦσα,
ἰσθμὸν ὁμοῦ καὶ πορθμὸν ἐπ' ἠπείροιο φέρουσα.
ἔνθ' Ἥφαιστος ἔχων χαίρει γλαυκῶπιν Ἀθήνην.
κεῖθι θυηπολίην σε φέρειν κέλομαι Ἡρακλεῖ.

201.

Τίπτε, δύω γενέτα, πολυηράτοιό τε μόσχου
πόρτιός θ' ἁπαλῆς σκολιὰς δίζεσθε κελεύθους;
χέρσῳ ὑφ' ἁλικλύστῳ, ζωοτρόφον ποτὶ νᾶσον,
ἥν λάχε Κυπρογένεια Πόθου γενέτειρ' Ἀφροδίτη
ἠὲ παρασχομένη τόδε οὔνομα ἠὲ λαβοῦσα,

4: ληστοδίωκτοι Hemsterh. ‖ 5: δεσμά Cocchius. δεινά cod. Florent. ‖ 7: ποταμοῦ ἱεροῦ Locella. ποταμοῦ δίου Jacobsius. ‖

199) Xenoph. Ephes. IV, ubi conferas.

200) Achill. Tat. II 13: χρησμὸν ἴσχουσιν οἱ Βυζάντιοι τοιόνδε· Νῆσος κτλ.

201) Theod. IX 196:
ἤροντο γοῦν ἐλθόντες ἐς τὴν Πυθίαν
καὶ μὴ βραδύνας μηδὲ μικρὸν ὁ τρίπους
ἀνεῖλε τοῖς γέρουσι ταῦτα πατράσι·
Τίπτε κτλ.

δερκόμενοι βιόωντας ἐλεύσετε· ἀλλ᾽ ἐπὶ πάτρης
στέψαθ᾽ ὑπὸ στεφάνοισι τροπαιοφόρου Κυθερείης·
τοὺς γὰρ Ἔρως τε Πόθος τε καὶ Ἀφρογένεια Κυθήρη
δμήσατο θειοδέτοιο ἀλυκτοπέδῃσι σιδάρου.

202.

Θρέμμα Ποσειδάωνος, ὑγρὸν τέρας, ἠπύτα Τρίτων,
νηχόμενος γλαφυρῆς ὁρμήμασι σύντυχε νηός.

203.

Οὔ σε θέμις κτείνειν οἰῶν γένος ἔστι βέβαιον,
ἔγγονε θειοπρόπων· ὃ δ᾽ ἑκούσιον ἂν κατανεύσῃ
χέρνιβ᾽ ἔπι, θύειν τόδ᾽ ἐπίσκοπε φημὶ δικαίως.

204.

Πρῶτα θεὸς μετέπειτα λόγος καὶ πνεῦμα σὺν αὐτοῖς,
ταῦτα δὲ σύμφυτα πάντα καὶ ἔντυπον εἰς ἓν ἰόντα,

---

202) Aelian. de nat. an. XIII 21: . . αἰδοῦμαι τὸν θεὸν καὶ ἄξιον πείθεσθαι τῷ μάρτυρι τῷ τοσῷδε· εἴη δ᾽ ἂν ὁ ἐν Διδύμοις Ἀπόλλων τεκμηριῶσαι ἱκανὸς παντὶ ὅσῳ νοῦς τε ὑγιαίνει καὶ ἔρρωται ἡ φρήν· Τρίτωνα γοῦν θρέμμα θαλάττιόν φησιν εἶναι καὶ ἃ λέγει ταῦτά ἐστι· Θρέμμα κτλ.

203) Porphyr. de abstin. ab esu animal. IX: ἐπισκόπῳ δὲ ὃς ἦν ἔγγονος τῶν θεοπρόπων βουληθέντι προβάτων ἀπάρξασθαι ἐπιτρέψαι μέν φασι τό λόγιον [Πυθικόν], σὺν πολλῇ δὲ εὐλαβείᾳ. ἔχει γὰρ οὕτως· Οὔ σε θέμις κτλ.

204) Suidas: Θοῦλις . . πάσης Αἰγύπτου βασιλεὺς . . παραγέγονεν εἰς τὸ μαντεῖον τοῦ Σαράπιδος καὶ θυσιάσας ἐρωτᾷ ταῦτα· φράσον ἡμῖν . . τίς πρὸ τῆς ἐμῆς βασιλείας ἐδυνήθη τοσαῦτα; ἢ τίς ἔσται μετ᾽ ἐμέ; καὶ ἐδόθη αὐτῷ χρησμὸς ἔχων οὕτως· Πρῶτα κτλ.

adde Zonar. ann. p. 1048. Malal. p. 27. Cedren. p. 20. chron. Pasch. I p. 84 Dindorf.

οὗ κράτος ἔστ' αἰώνιον· ὠκέσι ποσσὶ βάδιζε,
θνητέ, ἄδηλον δὴ ἀνύων βίον, ἄσσον ἐκείνων.

205.

Εἰπὲ Ποσειδάωνι κασιγνήτοις πεπιθέσθαι
πρεσβυτέροις ἐπέοικεν· ἐμῆς ἐρικυδέος αὐλῆς
κίοσιν οὐ κατὰ κόσμον ἀγάλλεται: εἰπὲ τινάξας
τρὶς ἅλα μαρμαρέην καὶ πείσεται· ἢν δ' ἀπιθήσῃ
φραζέσθω μὴ πᾶσαν ἐνιπρήσαιμι θάλασσαν·
οὐδὲ γὰρ οὐδὲ θάλασσα Διὸς σβέννυσι κεραυνόν.

206.

Αὐτοφυὴς ἀδίδακτος ἀμήτωρ ἀστυφέλικτος
οὔνομα μηδὲ λόγῳ χωρούμενον, ἐν πυρὶ ναίων,
τοῦτο θεὸς μικρὰ δὲ θεοῦ μερὶς ἄγγελοι ἡμεῖς.

207.

Στῦλος Θηβαίοισι Διώνυσος πολυγηθής.

Versus alter tertius quartus corruptissimi apud omnes extant: textus quem recepi a Wolffio in libello de noviss. orac. aet. p. 14 constitutus est, quem locum conferat qui in singulas corruptelas inquirere vult, praeterque eum Ricardi Volkmanni disputationem in Fleckeis. annal. 77 p. 870.

205) Anth. Pal. XIV 75: Χρησμὸς δοθεὶς ἐν Ἡλίου πόλει ὅτε ἐνανάγησαν οἱ κίονες τοῦ ἱεροῦ Διὸς τοῦ ὄντος ἐκεῖσε οἳ νῦν ἐν Βηρύτῳ.

cf. Wolff de nov. or. aet. p. 23.

v. 3: ἀγάλλεαι, 4: πείσεαι anth. Pal.

4: ἅλα μαρμαρέην Il. XIV 273. ‖ 5: φραζέσθω μή form. ep. [Il. V 411. XV 163. XVI 446]. ‖ 6: οὐδὲ γὰρ οὐδὲ form. ep. ‖

206) Lactant. I 7: Apollo . . Colophone respondens . . quaerenti cuidam quis esset aut quid esset omnino deus respondit viginti et uno versibus, quorum hoc principium est: αὐτοφυὴς κτλ.

207) Clem. Alex. strom. I 25 p. 418: . . . . δυνατὸν τῷ παντοκράτορι θεῷ προηγεῖσθαι ποιῆσαι τοῖς Ἑβραίοις νύκτωρ στῦλον πυρὸς τὸν καὶ καθηγησάμενον αὐτοῖς τῆς

208.

Σῶμα λυθὲν ψυχήν τε λιπὸν καὶ γαῖα γενηθὲν
οὐκ ἔτι πρὸς βιότοιο παλίνδρομον οἶδε κέλευθον
ἀλλὰ τὸ μὲν λυθέν ἐστι κενὴ κόνις, ἡ δὲ πρὸς αἴθραν
σκίδναται ὁππόθεν ἦλθε μετήορος αἰθερόπλαγκτος.
ἄλλος δ' ἐξ ἄλλου γεννώμενος ἠδ' ἀναβλαστὼν
ψυχοῦται γονίμου φύσεως ἀροτρεύμασι καινοῖς.

209.

Ὄργια μὲν δεδαῶτας ἐχρῆν νηπευθέα κεύθειν,
εἰ δ' ἄρα τοι παύρη σύνεσις καὶ νοῦς ἀλαπαδνός.
φράζεο τὸν πάντων ὕπατον θεὸν ἔμμεν Ἰαώ,
χείματι μέν τ' Ἀίδην, Δία δ' εἴαρος ἀρχομένοιο
Ἠέλιον δὲ θέρευς, μετοπώρου δ' ἁβρὸν Ἰαώ.

210.

Ἄττιν δ' ἱλάσκεσθε, θεὸν μέγαν, ἁγνὸν Ἄδωνιν,
εὔιον ὀλβιόδωρον ἐυπλόκαμον Διόνυσον.

ὁδοῦ. λέγεται δὲ καὶ ἐν χρησμῷ τινι· Στῦλος κτλ. ἐκ τῆς παρ' Ἑβραίοις ἱστορίας.

208) Stob. ecl. phys. I 41, 46: περὶ τῆς τῶν ψυχῶν διαγωγῆς μετὰ τὴν ἀπὸ τοῦ σώματος ἔξοδον χρησμός.

4: αἰθερόπλαγκτος pro εἰς αἰθέρ' ἁπλοῦν R. Volkmanns in Fleckeis. annal. 81 (1860). p. 612.

209) Macrob. Sat. I 18, 19: nam consultus Apollo Clarius quis deorum habendus sit qui vocetur Ἰαώ, ita effatus est: Ὄργια κτλ. cf. Lobeck. Aglaoph. p. 461. Wolff. de nov. or. aet. p. 12.

210) Socrat. schol. hist. eccl. III 23: Ῥοδίοις συμφορᾷ περιπεσοῦσιν ἐδόθη χρησμὸς ὅπως ἂν τὸν Φρύγιον Ἄττιν τὸν ἱερέα τῆς μανικῆς ἐν Φρυξὶ τελετῆς θεραπεύωσιν. ἔχει δὲ ὁ χρησμὸς ὧδε· Ἄττιν κτλ.

Ad Apollinem Clarium hos versus refert G. Wolffius „de noviss. orac. aetate“ p. 12.

v. 2: εὔβιον trad. εὔιον Voss. ad Steph. Byz. s. v. Ἀμαθοῦς. ||

211.

Ὦ πολυύμνητον ναίων χθόνα λαὸς ἀπείρων,
μὴ στεῖχ' εἰς Φοίβου τέμενος ναόν τε θυώδη·
οὐ γάρ σοι καθαραὶ χέρες αἵματος αἰθέρ' ἔχουσιν,
ἀλλὰ μύσος προπάροιθε ποδῶν ἔντοσθε κελεύθου.
φράζεο δ' ἐξ ἐμέθεν, τρίποδος δ' ἀπόειπε κέλευθον·
μαντοσύνης πᾶσαν γὰρ ἐφετμήν σοι καταλέξω.
ἤματι γὰρ τούτῳ περιτελλομένου ἐνιαυτοῦ
ὥρισται πᾶσιν θάνατος, ψυχαὶ δὲ βέονται
Λοκρῶν Αἰτωλῶν τ' ἀναμὶξ βουλῇσιν Ἀθήνης,
οὐδ' ἀναπαύλησις κακοῦ ἔσσεται οὐδ' ἠβαιόν.
ἤδη γὰρ ψεκάδες φόνιαι κατὰ κρᾶτα κέχυνται
νὺξ δ' ἐπὶ πάντα κέκευθε, μέλας δ' ἐπιδέδρομεν αἰθήρ·
αὐτίκα νὺξ δ' ἔρεβος πᾶσαν κατὰ γαῖαν ὄρωρεν,
χῆροι δ' οἶκοι πάντες ἐπ' οὔδεϊ γυῖα κλινοῦσιν,
οὐδὲ γυνὴ πένθος ποτὲ λείψεται, οὐδέ νυ παῖδες
ἐν μεγάροις γοόωσι φίλους πατέρας περιφῦντες·
τοῖον γὰρ τόδε κῦμα κατέδραμε πᾶσι κατ' ἄκρης.
αἲ αἲ πατρίδ' ἐμὴν αἰεὶ στένω αἰνὰ παθοῦσαν,
μητέρα τ' αἰνοτάτην ἣν ὕστερον ἔκλυσε δαίμων.
νώνυμον τε θεοὶ γένεσιν θήσουσιν ἅπαντες
Λοκρῶν τ' Αἰτωλῶν θ' ὅ τι που καὶ σπέρμα λίποιτο,
οὕνεκ' ἐμὴν κεφαλὴν λίπε δαίμων, οὐδέ νυ πάντα
σώματος ἠφάνικεν μέλε' ἄκριτα, λεῖπε δὲ γαῖαν.
ἀλλ' ἄγ' ἐμὴν κεφαλὴν θέμεν' ἠοῖ φαινομένηφι,
μὴ δέ θ' ὑπὸ ζοφερὴν γαῖαν κατακρυπτέμεν ἔνδον·
αὐτοὺς δὲ προλιπόντας ἑὸν χῶρον μετόπισθεν
στείχειν εἰς ἄλλον χῶρον καὶ λαὸν Ἀθήνης,
εἴ τινά που θανάτοιο λύσιν κατὰ μοῖραν ἕλησθε.

---

211) Phlegon mirab. II [Westerm. παραδοξογρ. p. 124], ubi de re conferas. Textus Westermanni est: sed in v. 8 βέονται et 22 λίπε δαίμων pro λίποι αἰών scripsi cum Emperio [opuscul. p. 231]. In v. 6 ψακάδες quod codd. exhibeat Kellerus reliquit. ‖ 7: ἀχλύς pro αἰθήρ Nauckius Kellerus. ‖ 19: ἔκλυσεν αἰών Kellerus. ‖ 20: νώνυμνον idem. ‖ 24: ἀλλά γ' cod. corr. Nauckius. ‖

212.

Δὴ τότε Βιθυνῶν γαῖαν λύκοι οἰκήσουσι
Ζηνὸς ἐπὶ φροσύνῃσι· κακὸν δ᾽ ἐπιβήσεται ἄνδρας
ἄνδρας οἳ Βύζαντος ἕδος καταναιετάουσιν.

---

212) Tzetz. chil. IX 820:
οὗτος ὁ τῆς Σιβύλλης δὲ χρησμὸς ἢ Φαεννοῦς δέ·
(πλέον δοκεῖ Σιβύλλης δὲ ἕνεκα Βυζαντίου)
καὶ περὶ Διογένους δὲ ἐφοίβασε καὶ Τούρκων
καὶ τὰ λοιπὰ ἐάσωμεν, λέξωμεν δὲ βραχέα.
Δὴ τότε κτλ.

Addenda et corrigenda.

Collegi in hoc libello ea oracula quae apud scriptores graecos latinosque exstant quot quidem inveni; consulto ea omisi, quae iam edita sunt a Gustavo Wolffio in libro illo qui inscribitur „Porphyrii de philosophia ex oraculis haurienda librorum reliquiae“.

P. 3. Ad exempla, quibus ostendere studui numerum *τρὶς ἐννέα* in superstitione sanctum quendam putatum esse, adde ex ipsis oraculis [157 v. 13]: *κέλομαί σε τρὶς ἐννέα ταύρους θυέμεν.*

Pag.	5	lin.	24	lege	*παλαιὰν μαντείαν.*
„	9	„	15	„	*δυωδέκατοι.*

Pag. 10. Ad primam partem adde: Referendum fortasse huc est etiam illud *ταῖς δ' αὐταῖς τέχναις τις ἁλώσεται αἶσπερ ὑπῆρξεν* apud Eusebium in pr. ev. V. 27, ubi Pausanias et Diodorus recte *τέχναισιν* exhibent. cf. or. 63.

Pag.	19	lin.	paenult.	lege	*χρῆσθαι ἰατρῷ.*
„	28	„	20	„	*εὐρυάγυια.*
„	31	„	21	„	*Ἀπόλλωνι.*
„	35	„	28	„	*Μελαιναὶ.*
„	35	„	29	„	*Ἀττικῆς.*
„	39	„	21	„	*ποτίβαλλε.*
„	42	„	4	„	*Ἁλιάκμονος.*
„	56	„	30	„	*ἀνήρ.*
„	57	„	ult.	„	*ἐπιτάρροθος.*
„	67	„	10	„	*Τριτογενεῖ.*
„	69	„	3	„	*τὴν.*
„	70	„	1	„	*ἀκανθοφάγον.*
„	71	„	16	„	*Πελασγικὸν.*
„	87	„	23	„	*Αὐρηλιανοῦ.*

Index.